Τοῦτο ἐκεῖνο Δημάγητε, ὅπερ εἰκάζομεν. οὐ παρέκοπτε Δημόκριτος· ἀλλὰ πάντας ὑπερεφρόνεε, καὶ ἡμᾶς ἐσωφρόνιζε, καὶ δι' ὑμέων ἐσωφρόνιζε πάντας ἀνθρώπους. Ἐξέπεμψα δέ σοι, φιλότης, ὡς ἀληθῶς τὴν Ἀσκληπιάδα νῆα, ᾗ προσέθες μετὰ τοῦ ἀλίου ἐπίσημον καὶ ὑγιείην, ἐπεὶ κατὰ δαίμονα τῷ ὄντι ἰσοδρόμηκε, κἀκείνῃ τῇ ἡμέρῃ καθέπλευσεν ἐς Ἄβδηρα, ᾗπερ αὖτις ἐπεστάλκειν ἀφίξεσθαι. Πάντας οὖν ἀολλέας πρὸ τῶν πυλῶν εὕρομεν ὡς εἰκὸς ἡμέας περιμένοντας, οὐκ ἄνδρας μόνον ἀλλὰ καὶ γυναῖκας· ἦν δὲ καὶ πρεσβύτας, καὶ παιδία, νὴ τοὺς θεοὺς, κατηφέα καὶ τὰ νήπια. Οὗτοι μέν τοι ὧδε εἶχον ὡς ἐπὶ μαινομένῳ τῷ Δημοκρίτῳ. Ὁ δὲ μετὰ ἀκριβείας τότε ὑπερεφιλοσόφεεν. Ἐπεὶ δὲ με εἶδον, ἔδοξάν του ἡδίους μικρόν τι ἐφ' ἑωυτοῖσι γεγονέναι, καὶ χρηστὰς ἐλπίδας ἐποιέοντο. Ὁ δὲ Φιλοπίμην ἄγειν με ἐπὶ τὴν ξενίην ὥρμητο. Κἀκείνοισι προσεδόκεε τοῦτο. Ἐγὼ δὲ ἔφην· ὦ Ἀβδηρῖται, οὐδέν ἐστί μοι πρὸ ἔργου, ἢ Δημόκριτον θεήσασθαι.

θί

Nullo autem horum in Democrito ſanando vtemur. Sed contingat ipſi omnium medicamentorum validiſſimũ Sapientia.

DEMAGETO S.

HOc ipſum eſt, ô Demagete, quod coniectaueram. Non inſanit Democritus ſed omnes ſapientia ſuperat, & nos ſapientiores reddidit, & per nos omnes homines. Remiſi verò tibi, ô amice, reuera nauim illã Aſclepiadẽ, cui poſt maris inſigne, etiã ſanitatis adponas: cum diuinitus reuera expanſis velis curſum direxerit, & illâ ipsâ die Abderam adnauigauerit, quâ ab ipſis accerſitus erã venire. Omnes ergo ante ciuitatis portas congregatos inuenimus, vt veriſimile, nos expectantes, non viros ſolũ, ſed & mulieres, quin etiã ſenes, & Deos teſtor, pueros etiã ſollicitos & infantes. Hi igitur ita adfecti erant ob Democritũ tanquã qui inſaniret. Ille verò eo ipſo tempore exactiſſimè Sapiẽtiæ ſtudio inuigilabat Vbi verò me videbant, aliquanto lætiores in ſemetipſis fieri videbantur, & bonam ſpem animis concipiebant Philopœmen verò me ad hoſpitium deducere feſtinabat: id ꝙ & ipſis vnà optimũ factu videbatur Ego verò dicebam Nihil mihi ô Abderitæ prius, quàm vt Democritũ videã.

Quod

οἱ δὲ ἐπῄνεον ἀκούοντες, καὶ ἥδησαν, ἦγόν τε συντόμως διὰ τῆς ἀγορᾶς, οἱ μὲν ἑπόμενοι, οἱ δὲ προθέοντες ἔπρωθεν, ἕτεροι· ὦ ζεῦ βασιλεῦ, λέγοντες, βοήθει, θεράπευσον. Κἀγὼ παρηγόρουν θαῤῥεῖν ὡς τάχα μὲν οὐδενὸς κακοῦ· πίσυνος ἐτησίῃσιν ὥρῃσιν· εἰ δ᾽ ἄρα καί τινος βραχέος διορθώτου. Καὶ ἅμα ταῦτα λέγων ᾔειν. Οὐ δὲ γὰρ πόῤῥω ἦν ἡ οἰκίη· μᾶλλον δὲ οὐδὲ ἡ πόλις. Παρήειμεν οὖν· πλησίον γὰρ τοῦ τείχεος ἐτύγχανε, καὶ ἀνάγουσί με ἡσυχῇ. Ἔπειτα κατόπιν τοῦ πύργου βουνός τις ὑψηλὸς μακρῇσι καὶ λασίῃσιν αἰγείροις ἐπίσκιος, ἔνθεν ἑωρᾶτο τὰ τοῦ Δημοκρίτου καταγώγια. Καὶ αὐτὸς ὁ Δημόκριτος ἐκάθητο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλῇ πλατανίστῳ ἐν ἐξωμίδι παχείῃ, μοῦνος, ἀνηλειφὼς ἐπὶ λιθίνῳ θώκῳ, ὠχρακὸς πάνυ, καὶ λεπτόσαρκος, κουρειῶν τὰ γένεια. Παρ᾽ αὐτὸν δὲ ἐπὶ δεξιῆς λεπτόῤῥυτον ὕδωρ κατὰ πρανοῦς τοῦ λόφου θέον ἠρεμέως ἐκελάρυζεν. Ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λόφον ὡς ἐν ὑπονοίῃ κατεικάζοντι Νυμφέων ἱδρυμένον αὐτοφύτοισιν ἐπηρεφὲς ἀμπέλοισιν. Ὁ δ᾽ εἶχεν ἐν εὐκοσμίῃ πολλῇ ἐπὶ τῶν γονάτοιν βιβλίον, καὶ ἕτερα δέ τινα ἐξ ἀμφοῖν τῶν μεροῖν αὐτῷ παρεβέβλητο. Σεσώρευτο δὲ καὶ ζῶα ἀνατετμημένα δι᾽ ὅλων. ὁ δὲ ὅτε μὲν συντόνως ἔγραφεν ἐγκείμενος,

Quod cum audiuissent laudabant, & gaudebant, meq; compendio per forum deducebant, alij sequentes, alii prçcursantes, ex aliâ parte alii: O Rex Iuppiter, dicentes, adiuua, & medere. At ego sermone illos solabar, vt bono animo essent, tanquã nihil fere mali esset, (Etesiorum scilicet tempore fretus) aut si quid sit, breue illud esse, & facilè corrigi posse. Et cũ hæc dicerẽ simul pergebam: non enim procul domus erat, sed neq; ipsa ciuitas. Proximi ergo ipsi fuimus: nam muro vicina erat: & tacitè me introducũt. Inde à tergo turris collis erat altus, p̃lõgis & dẽsis alnis obũbratus, vnde Democriti habitatio cõspici poterat. Et ipse Democritus sedebat sub ingẽti & humili platano, in crassâ quâdã tunicâ, solus, non calceatus, in lapideâ aliquâ sede, omnino pallidus, & macer, barbã sibi detõdẽs: Prope ipsũ à dextris aqua leniter defluens è præcipitio collis decurrẽs placidè resonabat. Erat vero nem⁹ aliquod in ipso colle, vt aliquis suspicione cõiectare posset Nympharum templum ibi esse ædificatũ, per se genitis racemis coopertum. Ipse verò decorè admodũ in genibus librũ habebat. & alii quidem ex vtrâq; parte circa ipsum iacebant: Coaceruabat verò etiam multa animalia per omnia dissecta.

Ὁ δὲ ὁτὲ μὲν συντόνως ἔγραφεν ἐγκείμενος, ὁτὲ δὲ ἠρέμει, πάμπολύ τι ἐπέχων, καὶ ἐν ἑαυτῷ μερμηρίζων. Εἶτα μετ' οὐ πολὺ τούτων ἐρδομένων ἐξαναστὰς περιεπάτει, καὶ τὰ σπλάγχνα τῶν ζώων περιεσκόπει, καὶ καταθεὶς αὐτὰ μεταλθὼν ἐκαθέζετο. Οἱ δὲ Ἀβδηρῖται περιεστῶτές με κατηφεῖς, καὶ οὐ πόῤῥω τὰς ὄψιας δακρύων ἔχοντες, φασίν· Ὁρᾷς μέν τοι τὸν τοῦ Δημοκρίτου βίον, ὡς μέμηνεν, ὦ Ἱππόκρατες. Καὶ οὔτε ὅ, τι θέλει οἶδεν, οὔτε ὅ, τι ἔρδει. Καί τις αὐτῶν μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν μανίαν αὐτοῦ, ὀξὺ ἐκώκυσεν, ἴκελον γυναικὶ ἐπὶ θανάτῳ τέκνου ὀλοφυρομένῃ· εἶτα ἐνώμαζεν πάλιν ἄλλος ὑποκρινόμενος παροδίτην ἀπολέσαντα τι ὧν διεκόμιζε. Καὶ ὁ Δημόκριτος τὰ μὲν ἀκούων ἐμειδία, τὰ δὲ ἐξεγέλα οὐκ ἔτ' οὐδὲν γράφων. Τὴν δὲ κεφαλὴν θαμινὰ ἐμπέσειεν. Ἐγὼ δὲ, ὑμεῖς μὲν ἔφην ὦ Ἀβδηρῖται αὐτόθι μίμνετε· Ἐγγυτέρω δὲ αὐτοῖς καὶ λόγου, καὶ σώματος τἀνδρὸς γενηθεὶς, ἰδὼν καὶ ἀκούσας εἴσομαι τοῦ πάθεος τὴν ἀλήθειαν. Καὶ ταῦτα εἰπὼν, κατέβαινον ἡσυχῆ. Ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον. μόλις δ' οὖν διαστηριζόμενος διῆλθον. Ἐπεὶ δὲ ἐπλησίαζον, ἔτυχε τότε ἐπελθὸν αὐτῷ ὅ, τι δήποτε γράφειν ἐνθουσιωδῶς, καὶ μεθ' ὁρμῆς.

Εἰ

Ille verò interdum ſtudiosè aliquid, incũbens ſcribebat, interdum verò ſubmiſſior, etiã omnino abſtinebat, & in ſeipſo ſollicitè cogitabat. Inde nõ multo poſt cum hęc egiſſet reſurgẽs circũibat, & inteſtina animaliũ inſpiciebat, & illa deponẽs, & præteriẽs, rurſus ſedebat. Abderitæ verò triſtes circa me ſtabãt, & nõ multo poſt facies ſuas lacrumis irrigãtes, dicebãt: Vides nẽpe Democriti vitã: quãtũ inſanit ille, ô Hippocrates! Et neq; quid velit nouit, neq; quid faciat. Et vnus illorũ impẽſius adhuc eius inſaniã demõſtrare volẽs, altâ voce eiulauit; nõ mulieri diſſimilis, quæ mortuũ filium deflet. Inde alius rurſus plorare incepit, viatorẽ repræſentans, qui illorum aliquid deprdidit, quæ ſecum portauit. At Democritus horũ alia cum audiret placidè renidebat, alia ridebat. Nec amplius aliquid ſcribebat, ſed crebro caput ſuũ cõcutiebat. Ego verò vos, Abderitæ, dicebã, hic expectate; ipſe viro & ſermone & corpore ꝓpior factus, videns & audiens, huius adfectionis veritatẽ deprehendã. Hęc cum dixiſſem tacitè deſcendebã. Erat enim locus ille præceps, & pronus. Vix greſſum obfirmans eo venerã: vbi verò propior factus, in mentem ipſi aliquid venit, quod maximâ animi cõcitatione, & impetu ſcriberet

Εἱστήκειν οὖν περιμένων αὐτέου τὸν καιρὸν τῆς ἀναπαύσιος. Ὁ δὲ μετὰ μικρὸν τῆς φορῆς λήξας τοῦ γράφειν προσέβλεπέ τε ἐς ἐμὲ προσιόντα, καί φησι· χαῖρε ξεῖνε. Κἀγώ· πολλὰ δὲ καὶ σὺ Δημόκριτε ἀνδρῶν σοφώτατε. Ὁ δὲ αἰδεσθεὶς, οἶμαι ὅτι ὀνομαστὶ οὐ προσεῖπέ με· Σὲ δὲ, ἔφη, τίνα καλέομεν; Ἀγνοίη γὰρ τοῦ σοῦ ὀνόματος πρόφασις τῆς τοῦ ξείνου προσηγορίας. Ἱπποκράτης ἔφην ἐμοίγε ὄνομα, ὁ ἰητρός. Ὁ δὲ εἶπεν· ἡ τῶν Ἀσκληπιαδῶν εὐγένεια, πολύ γέ σου τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης πεφοίτηκεν ὡς ἐμέ. Τί δὲ σε χρέος δεῦρ' ἤγαγεν ἑταῖρε; μᾶλλον δὲ πρὸ πάντων κάθισον. Ὁρᾷς δὲ τὴν οὕτως οὐκ ἀηδῆ φύλλων θημῶνα ὡς χλοερὸς καὶ μαλακός ἐστι καθίσαι, καὶ προσηνέστερος τῶν τύχης ἐπιφθόνων θώκων. Καθίσαντος δέ μου πάλιν φησίν· ἴδιόν σοι τι, ἢ ἐπιδήμιον διζήμενος πρῆγμα δεῦρο ἀφῖξαι; φράζε σαφέως· καὶ γὰρ ἡμεῖς ὅ,τι δυναίμεθα συνεργοῦμεν. Κἀγὼ τὸ μὲν κατ' ἀλήθειαν ἔφην ἕνεκεν σοῦ. Δεῦρο γὰρ ἥκω σοι συντυχεῖν ἀνδρὶ σοφῷ· ἔχει δὲ πρόφασιν ἡ πατρὶς, ἧς πρεσβείαν τελῶ. Ὁ δὲ,

ξε-

Reſtiti ergo, expectans tempus illud quo à ſcribendo deſiſteret. Nec diu poſt illum ſcribendi impetum, à ſcribendo deſinit, & in me propius ad ſe accedentem oculos cõiecit, & dixit: Salue hoſpes. Cui ego: Et tu plurimum ſalue Democrite virorum ſapientiſſime. Ille verò veniam deprecatus (forte quod nomine me non compellaſſet) Te verò, inquit, quem vocamus? nominis enim tui ignorantia in cauſa eſt, quare hoſpitis nomine te compellarim. Hippocrati, reſpondebam, medico mihi nomē eſt. Hic verò dicebat: Aſclepiadûm generoſitas, & magna tuæ in arte medicâ Sapientiæ laus etiam ad me vſque penetrauit. Quæ verò neceſſitas te huc adduxit, ô amice? Ante omnia verò prius ſedeas. Vides enim hic non vſque adeo ingratum foliorum cumulum, quàm viridis, & ad ſedendum mollis, & iucundior fortunę ſedibus inuidiâ obnoxiis. Cũ adſediſſem iterũ dixit: Priuatumne igitur, an publicum negotiũ expediturus huc acceſſiſti? Apertè dicas, nã & nos quantũ poterimus auxilio tibi erimus. Et ego verè hoc reſpõdebã: ꝓpter te. Huc enim venio, vt tecũ cum viro ſapiẽte cõuerſarer. In causâ eſt patria mea, cuius legationes obeo. Ille

ξενίῃ τίνι τὰ πρῶτα κέχρησο ἡμετέρῃ. Πειρώμενος δὲ κατὰ πάντα τἀνδρὸς, καίπερ ἤδη μοι δήλου μὴ παρακόπτειν, Φιλοποίμενα οἶσθα, ἔφην, πολίτην ἐόντα ὑμέτερον; Ὁ δὲ, μάλα ἔφη, εἰ τὸν Δήμονος λέγεις υἱὸν, τὸν οἰκέοντα παρὰ τὴν Ἑρμαΐδα κρήνην. Τούτῳ εἶπον ὢν τυγχάνω ἐκ πατέρων ἰδιόξενος. Ἀλλὰ σὺ Δημόκριτε τῇ κρείσσονί με ξενίῃ δέχου, καὶ πρῶτόν γε τί ἦν τοῦτο ὃ γράφων τυγχάνεις φράζε. Ὁ δὲ ἐπισχὼν ὀλίγον, περὶ μανίης ἔφη. Κἀγὼ, Ζεῦ βασιλεῦ, φημὶ, δικαίως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. Ὁ δὲ, τίνην φησὶ πόλιν Ἱππόκρατες. Ἐγὼ μὲν οὐδὲν, ἔφην, ὦ Δημόκριτε, ἀλλ' οὐκ οἶδ' ὅπως προὔπεσον. Ἀλλὰ τί περὶ μανίης γράφεις; Τί γὰρ εἶπεν ἄλλο, ἢ τίς πέλει, καὶ ὅκως ἀνθρώποισιν ἐγγίνεται, καὶ ἵνα τρόπον ἀπολωφέοιτο; Τὰ γὰρ ζῶα ταῦτα, ἔφη, ὁκόσα ὁρᾷς, τούτου μέν τοιγε ἕνεκα ἀνατέμνω, οὐ μισέων θεοῦ ἔργα, χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. Οἶσθα γὰρ ἀνθρώποις παρακοπῆς ὡς αἰτίη ἐπιπολὺ αὕτη πλεονάσασα. Ἐπεὶ πᾶσι μὲν φύσει ἐνυπάρχει· ἀλλὰ παρ' οἷς μὲν ἐλάσσω, παρ' οἷς δὲ ἴσι πλείων. ἡ δὲ ἀμετρίη αὐτῆς νοῦσοι τυγχάνουσι ὡς ὕλης, ὁτὲ μὲν ἀγαθῆς, ὁτὲ δὲ φαύλης ὑποκειμένης. Κἀγὼ, νὴ Δία, ἔφην,

ὦ

verò: Cũ primis ergo noſtro hoſpitio indiges. Ego verò virũ p omnia tentãs, quãquã iã ſatis mihi notũ foret ipſum non inſanire, Philopœmena inquã noſtine,cõciuem veſtrum? Ille verò, maximè reſpondit,ſi illum Demonis filiũ dicis,qui habitat iuxta Mercurialem fontẽ.Huius,inquã,inde à parentibus proprio vtor hoſpitio. Tu verò,ô Democrite, meliori me hoſpitio excipe, & primùm mihi dicas quidnã illud ſit, ꝙ ſcribis. Ille verò moratus paullùm, de Inſaniâ,inquit.Et ego,ô rex Iupiter,inquã,in tempore ſcribis ad hãc vrbẽ. Ille verò: qualẽ vrbẽ? reſpõdit.Ego verò,nihil dicebã,ô Democrite, ſed neſcio quorſum prolaberer. At quidnã tu de inſaniâ ſcribis? Quidnã aliud reſpõdet ille, quàm quænã illa ſit, & quomodo homines inuadat,& quâ ratione deſinat. Animalia n. hæc,inquit, quotquot vides hâc de causâ reſeco, nõ vt oſor DEI operũ, ſed naturã bilis indagãs, & ſitũ. Neq; enim ignoras quod illa,ſi abundet,plerunq; hominibꝰ inſaniæ cauſa ſit, cũ omnibus naturâ inſit ſed in quibuſdã minor, in quibuſdã maior. Quæ ſi modum excedat morbus euadit, tamquam ſubiecta materia aliàs bona, aliàs mala. Et ego, Per Iouem, dicebam,

ὦ Δημόκριτε, ἀληθέως τε καὶ φρονίμως λέγεις. ὅθεν εὐδαίμονά σε κρίνω ἀπολαύοντα τοσαύτης ἡσυχίης. Ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. Ἐρομένου δὲ, διὰ τί, Ἱππόκρατες, οὐκ ἐπιτέτραπται; Ὅτι, ἔφην, ἢ ἀποικίη, ἢ τέκνα, ἢ δάνεια, ἢ νοῦσοι, ἢ θάνατοι, ἢ δμῶες, ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ἀποτέμνονται. Ἐνταῦθα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς πάθος κατηνέχθη, καὶ μάλα ἄθρουν τι ἀνεκάγχασε, καὶ ἐπετώθαστε, καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγε. Καὶ ἐγὼ, τί μέν τοι ἔφην ὦ Δημόκριτε καταγελᾷς; πότερον τὰ ἀγαθὰ ὧν εἶπον ἢ τὰ κακά; ὁ δὲ ἔτι μᾶλλον ἐγέλα, καὶ ἄπωθεν ὁρῶντες οἱ Ἀβδηρῖται, οἱ μὲν τὰς κεφαλὰς αὐτῶν ἔπαιον· οἱ δὲ τὰ μέτωπα, οἱ δὲ τὰς τρίχας αὐτῶν ἔτιλλον. Καὶ γάρ, ὡς ὕστερον ἔφασαν· πλεονάζοντι παρὰ τὸ εἰωθὸς ἐχρήσατο τῷ γέλωτι. ὑποτυχὼν δὲ ἐγὼ ἔφην· Ἀλλὰ μὴν σοφῶν ἄριστε Δημόκριτε· ποθέω γὰρ αἰτίην τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι· τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος αὐτὸς, ἢ τὰ λαληθέντα; ὅκως ἢ μαθὼν παύσωμαι τῆς αἰτίης, ἢ σὺ ἐλεγχθεὶς διακρούσῃ τοὺς ἀκαίρους γέλωτας. Ὁ δέ· Ἡράκλεις, ἔφη, εἰ γὰρ δυνήσῃ με ἐλέγξαι, θεραπείην θεραπεύ-

ô Democrite, verè hæc,& ſapiẽter dicis: vnde te beatum prædico,qui quidẽ tantum ocij cõſecutus ſis.Nobis verò huiuſmodi cõſequi non permittitur. Cum verò quæreret: Nam quare, ô Hippocrates, non permittitur? Eo, reſpondebam,quod peregrinationes, & liberi, & æs alienum, aut morbi, aut mortes, & famuli, & nuptię, & huiuſmodi horũ opportunitatẽ adimũt. Ibi verò vir ille ad ſolitũ ſuũ adfectum referebatur, & effusé admodũ cachinnabatur, & ridebat, & poſtea adquieuit. Et ego: Nã quid rides, inquam, Democrite? an bona illa, de quibus dixi, an mala? Ille verò magis adhuc ridebat. Id ꝙ de lõginquo Abderitę vidẽtes, quidã capita ſua percutiebãt, alii faciẽ, alii capillos ſibi euellebãt: Nã (vt nouiſſimè dixerũt) ſolito vehementiore riſu vtebatur. Ego verò tempeſtiuè respondens: Verũ ſapientũ optime Democrite, inquã, (nam cauſſam illius tuæ adfectionis cognoſcere deſidero) quonã riſu ego tibi dignus viſus ſum, aut ipſe, aut illa, quæ dixi? vt aut illa diſcẽs à causa illa impoſterũ deſiſtam, aut tu reprehenſus intẽpeſtiuos eiuſmodi riſus contineas. Ille verò, me hercule, inquit, ſi me coarguere poteris me-

D 5 dicinam

[illegible] οἶδ' οὐδένα πώποτε, Ἱππόκρατες. Καὶ πῶς οὐκ ἐλεγχθείης, ἔφην, ὦ ἄριστε, ἢ οὐκ οἶσθα ἄτοπός γε εἶναι γελῶν θάνατον ἀνθρώπου, ἢ νοῦσον, ἢ παρακοπήν, ἢ σφαγήν, ἢ ἄλλο τι χέρειον; ἢ τοὔμπαλιν γάμους, ἢ πανηγύριας, ἢ τεκνογονίην, ἢ μυστήρια, ἢ ἀρχάς, ἢ τιμάς, ἢ πᾶν ὅλως ὄνομα ἀγαθόν; καὶ γὰρ ἃ δέον οἰκτείρειν γελᾷς, καὶ ἐφ' οἷσιν ἥδεσθαι χρὴ καταγελᾷς τούτων· ὥστε μήτε ἀγαθόν, μήτε κακὸν παρὰ σοὶ διακεκρίσθαι. Ὁ δέ, ταῦτα μὲν εὖ λέγεις, Ἱππόκρατες. Ἢ γὰρ οὐκ οἶσθά πω ἡμετέρου γέλωτος αἰτίην. μαθὼν δὲ εὖ οἶδ' ὅτι κρείσσονα τῆς πρεσβείας ἀντιφορησάμενος, ἀποίσῃ θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι, καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους δυνήσῃ σωφρονίζειν· ἀνθ' ὧν ἴσως κἀμὲ διδάξεις ἰητρικὴν ἀμοιβηδόν, γνοὺς οἵην σπουδὴν περὶ τὰ ἀσπούδαστα φιλοτιμούμενοι πρήσσειν τὰ μηδενὸς ἄξια. Πάντες ἄνθρωποι τὸν βίον ἀχρήστως ἀναλίσκουσι, γελώτων ἄξια διοικοῦντες. Ἐγὼ δέ φημι· λέγε πρὸς θεῶν. Μή ποτε γὰρ διαλανθάνει νοσέων πᾶς ὁ κόσμος, καὶ οὐδὲ ἔχει ὅκου διαπέμψηται πρεσβείην πρὸς θεραπείην. Τί γὰρ ἂν εἴη ἔξω αὐτοῦ; Ὁ δὲ ὑπολαβών· Πολλαί γε φησὶν ἀπειρίαι κόσμων εἰσὶν ὦ Ἱππόκρατες. καὶ μηδαμῶς ἑταῖρε κατασμικρολόγει πλουσίην τὴν φύσιν ἐοῦσαν. ἀλλὰ ταῦτα μέν, ἔφην, ὦ Δημόκριτε,

διδά-

dicinā medicus exercueris, qualē nullus ante te vnquā ô Hippocrates. Et quomodo nō coarguaris, inquā, vir optime? an verò ignoras quàm importunum ſit mortem hominis deridere, aut morbū, aut inſaniā, aut iugulationē, aut ſi qiud his deterius? Et rurſus, aut nuptias, aut nūdinas, aut liberorū ꝓcreationes, aut arcana ſacra, aut principatus, aut honores, aut in vniuerſum quidquid boni nomē habet? Etenim quib⁹ flere oportebat, tu rides, & quib⁹ lætari fas erat, tu itidē rides: ita vt quid bonū aut malū ſit parum apud te diſcernatur. Ille verò: Meritò tu quidē iſtuc dicis Hippocrates. Fortaſſe enim noſtri riſus cauſam ignoras: quàm vbi cognôris, ſat ſcio, quòd illā tuâ legatione potiorē in te ſuſcipiēs meū riſum tāquā medicinā patriç tuç reportabis, & te ipſum, & alios ſapiētiores reddere poteris. Pro quib⁹ fortè me viciſſim artē medicā docebis, vbi cognôris quali curâ de nō curādis, dū illa q̄ nullius momēti ſunt ſtudioſè curāt, omnes homines inutiliter vitā cōſumāt, illa q̄ riſu digniſſima ſunt agitātes. Cui ego, Per Deos, dic mihi illa. Quis enim ignorat ꝙ vniuerſus mūdus laborat, nec habet quo legationē, vt curetur, mittat. Quid enim eſt extra ipſum? Ille verò reſpondēs, multç, inquit, mūdorū ſunt infinitates,

διδάξεις ἐν ἰδίῳ καιρῷ. Εὐλαβέομαι δὲ μήκως καὶ τὴν ἀπειρίην διεξιὼν γελᾶν δόξῃ. Ἴσθι τοίνυν περὶ τοῦ σοῦ γέλωτος τῷ βίῳ λόγον δώσων. Ὁ δὲ μάλα τρηχὺ ἀπιδών με, δύο φησὶ τοὐμοῦ γέλωτος αἰτίας δοκέεις, ἀγαθὰ καὶ φλαῦρα. Ἐγὼ ἕνα γελῶ, τὸν ἄνθρωπον ἀνοίης μὲν γέμοντα, κενὸν δὲ πρηγμάτων ὀρθῶν, πάσῃσιν ἐπιβολαῖσι νηπιάζοντα, καὶ μηδεμιῆς ἕνεκεν ὠφελείης ἀνύοντα τοὺς ἀνηνύτους μόχθους, πείρατα γῆς, καὶ ἀορίστους μυχοὺς ἀμετρίῃς ἐπιθυμίῃ ὁδεύοντα, ἄργυρον τήκοντα, καὶ χρυσὸν, καὶ μὴ παυόμενον τῆς κτήσιος ταύτης, ἀεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον ὅκως αὐτὸς ἐλάσσων γένηται. καὶ οὐδὲν αἰσχύνεται λεγόμενος εὐδαίμων, ὅτι χάσματα γῆς ὀρύσσει δεσμίων χερσὶν, ὧν οἱ μὲν ἐπὶ σομφῆς πιπτούσης τῆς γῆς ἐφθάρησαν· οἱ δὲ πολλῷ χρόνῳ ταύτην ἄγοντες τὴν ἀνάγκην ὡς ἐν πατρίδι τῇ κολάσει καταμένουσιν, ἄργυρον καὶ χρυσὸν μαστεύοντες, ἴχνη κόνιος καὶ ψήγματα ἐρευνῶντες, ψάμμον ἄλλην ἀλλαχόθεν ἐγείροντες, καὶ γῆς φλέβας ἐκτέμνοντες εἰς περιουσίην, ἀεὶ βωλοποιοῦντες ἐκ γῆς μητρός. Τὴν δὲ μίην γῆν, καὶ τὴν

αὐ-

Hippocrates,& nequaquã ô amice de natura, quæ admodum diues eſt, tanquam de re puſilla verba facias. Verum hæc Democrite inquã, ſuo aliquo tẽpore docebis. Metuo enim ne de infinitate mũdi diſſerẽs etiã ridere incipias. Noueris igitur tui riſus vitę humanę rationes reddere. Ille verò valde intentè me intuitus, duas, inquit, mei riſus cauſſas exiſtimas, bona & mala. Ego verò vnum tantum hominem derideo ſtultitia plenum, & rectis factis vacuũ, qui in omni ſuo ꝓpoſito puer ſit, & nullius emolumẽti gratia vanos labores perficiat, qui terræ terminos, & indefinitos eius receſſus infinito deſiderio penetret, aurũ & argentum liquefaciat, nec horum poſſeſſione ſatietur, ſed ſemper ob maiora tumultuetur, vt ille minor euadat: nec interea felix dici erubeſcit, quod terræ viſcera perfodit vinctorũ hominũ manibus, quorum alii in cauitatibus terra cõcidente perierũt: alii verò multo tempore hac neceſſitate laborãtes, in hac poena tanquã in patria remanẽt, aurũ & argentũ cõquirentes, pulueris veſtigia, & arenas aureas ſcrutantes, & aliam arenã aliunde accumulantes, & terræ venas excidentes in congerendas facultates: ſemper glebas ex terra matre colligentes. Nam & vnam

& eandẽ terrã &admirãtur, & pedib' calcãt. Quàm ridiculũ autẽ ꝗ terrã laborioſam, latentẽ amãt, & manifeſtã vituperant. Canes, & equos emunt alii multã regionẽ deficiẽtes ſibi adſcribũt, & multa volẽtes poſſidere ne ꝓpria quidẽ poſſunt. Vxores ducere feſtinãt, quas paullo poſt domo eiiciãt; amãt, poſtea odio ꝓſequuntur. Summo deſiderio liberos gignunt, quos inde tãdẽ eiiciũt. Nã quodnã hoc vanũ & ſtolidũ ſtudiũ nihil ab inſania differens? Bella inteſtina exercent, nec pacem expetunt. Inſidias ſtruunt, reges interimunt, terram effodiunt, aurum quærunt: argẽto inuento terram emere volunt, quâ emta fructus vendunt, & fructibus redditis argentũ recipiunt. Quantas autẽ mutationes experiuntur, & in quãta ſunt malitia? Facultates quas nõ habẽt deſiderant, quas habent, abſcõdunt, & occultant. Rideo illorum infelicitatem, & illorũ miſeria riſum intendo. Leges enim veritatis tranſgreſſi odiis inter ſe cõcertãt, ſimultates alũt, cũ fratribus, parẽtibus, & ciuibus, idq; ob huiuſmodi bona, quorũ ne vllus q̃dẽ mortuus dominus eſt. Se inuicẽ trucidãt dira occidẽtes violentia. Amicorũ, & patriæ calamitates flocci faciũt. Homine indigna, & inanimata in diuitiis reponũt. Vniuerſis

ὅλης τῆς οὐσίης ἀνδριάντας ὠνέονται, ὅτι δοκεῖ λαλεῖν τὸ ἄγαλμα· τοὺς δὲ ἀληθέως λέγοντας μισέουσι. Τῶν μὴ ἰδίων ἐφίενται. Καὶ γὰρ ἤπειρον οἰκέοντες θάλασσαν ποθέουσι, καὶ πάλιν ἐν νήσοισιν ἐόντες ἤπειρον γλίχονται. Καὶ πάντα διαστρέφουσιν ἐς ἰδίην ἐπιθυμίην. Καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινέεσθαι· νικῶνται δὲ καθ' ἡμέραν ὑπὸ τῆς ἀσελγείης, ὑπὸ φιλαργυρίης, ὑπὸ τῶν παθέων ἁπάντων, ἃ νοσέουσι. Θερσῖται δὲ εἰσὶ τοῦ βίου πάντες. Τί δὲ τὸν ἐμὸν, Ἱππόκρατες, ἐμέμφου γέλωτα; οὐ γὰρ αὐτοὶ τῆς ἰδίης ἀνοίης, ἀλλ' ἄλλος ἄλλου καταγελᾷ, οἱ μὲν τῶν μεθυόντων ὅταν αὐτοὶ δοκέουσι νήφειν· οἱ δὲ τῶν ἐρώντων χαλεπωτέρην νοῦσον νοσέοντες αὐτοί· οἱ δὲ τῶν πλεόντων, ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀσχοληθέντων. Οὐ συμφωνέουσι γὰρ οὔτε ταῖς τέχναις, οὔτε τοῖς ἔργοισιν. Ἐγὼ δὲ [illegible] μὲν, ἔφην, κρήγυα Δημόκριτε, οὐδὲ ἄλλος τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλειν ταλαιπωρίην θνητῶν· Ἀλλ' αἱ πράξεις νομοθετέουσι τὴν ἀναγκαίην οἰκοδομῆς τε ἕνεκεν, καὶ ναυπηγίης, καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρεὼν εἶναι τὸν ἄνθρωπον. Οὐ γὰρ εἰς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννα. Ἐκ τούτων δὲ πάλιν φιλοδοξίη χυθεῖσα ἔσφηλε πολλῶν ὀρθογνώμονα ψυχὴν, σπουδαζόντων μὲν ἅπαντα ὡς ἐπ' ἀδιαπτωσίην, μη-

ſæpe opibus ſtatuas emunt, & ſimulacrũ, quod loqui videtur: homines verò qui reuera loquuntur odio ꝓſequuntur. Illa quæ propria nõ ſunt expetũt. Nã qui in cõtinenti habitant, mare deſiderant: rurſus qui in Inſulis habitant, cõtinentẽ cõcupiſcunt. Et omnia propriâ ſuâ cõſcientiâ puertunt. Et in bello quidẽ fortitudinẽ collaudare vidẽtur: & vincuntur interea indies ab impudicitia, auaritiâ, & omnibus adeo adfectibus, quib⁹ laborant. Quid verbis opus? omnes in vita Therſitæ ſunt. Quid verò tu ô Hippocrates riſum meũ reprehẽdis? Nõ enim ipſi ſuam ſtultitiã, ſed alter alterius deridet. Hi ebrios, cũ ipſi ſobrii vidẽtur: Illi amatores, ipſi interea grauioribus morbis correpti: alij nauigãtes, alii in agricultura occupatos. Non enim vel artibus, vel operibus inter ſe cõueniunt. Ego verò, Hæc ſane vera ſunt, inquã, nec ali⁹ opinor cõmodior ſermo fuerit ad demõſtrãdum calamitatẽ mortaliũ. Verũ res ipſa horũ neceſſitatẽ imponunt, ꝓpter domos & naues exſtruẽdas, & reliquam Remp. in quâ hominẽ eſſe neceſſe eſt. Nõ n. ad ſegnitiẽ natura hominẽ ꝓduxit. vnde rurſus opinio nata multorũ rectiſſimas mẽtes fruſtrata eſt: q qdẽ omnia agere ſtudẽt quàm rectiſ-

fimè, ſed incertudinem futurorũ nõ ꝓſpicere valent. Vbi enim quis vnquam, ô Democrite vxorẽ ducẽs, aut viduitatẽ, aut mortẽ expectauit? Quis rurſus liberos enutriens illorũ interitũ? Sed neq; illud in agricultura, aut nauigatione, aut re nautica, aut regno, aut principatu, aut omnibus quæcũq; omni tẽpore ſunt. Nemo enim fruſtra ſe futurũ exiſtimat, ſed vnusquiſq; bona ſpe ſuſtinetur. De ſiniſtris interea ne cogitat quidẽ Nõne ergò tuus iſte riſus hic admodũ importun⁹? At Democrit⁹, Tu q̃dẽ, inquit, mẽte admodũ bardus es, & lõge à mea ſentẽtia ꝑegrinus Hippocrates, cõſtantiæ & ꝑturbationis modos ꝑ ignorãtiã intueris. Hęc n. ipſa ſi accurata mẽte cõſideraret, & ipſi facilè immutarẽtur & riſui meo quietẽ concederẽt. Iã verò in his tanquã optimè ſibi cõuenięntibus in vita ſtulti efferuntur, & ratione bruta inordinati impetus aliter doceri nequeunt. Nã omnium rerum immutatiò illos ſatis admonuiſſe debebat, q̃ celeri mutatione repẽte incidit, variã orbitã circũrotans. Iã verò illi tanquã in ſibi decora, ac ſolida; adfectuũ qui hinc inde continue coincidunt obliti, noxia deſiderantes, & inutilia q̃rẽtes plurimis calamitatibus inuoluũtur.

Εἰ δ' ἐμερμήριζε κατὰ δύναμιν ἰδίην τὰ ξύμπαντα ἔρδειν, ἀδιάπτωτον ἐφρούρεε ζωὴν ἑαυτὸν ἐξεπιστάμενος, καὶ σύγκρισιν ἰδίην σαφῶς κατανοήσας, καὶ μὴ τῆς ἐπιθυμίης τὴν σπουδὴν ἀόριστον ἐκτείνων· Τὴν δὲ πλουσίην φύσιν καὶ πάντων εἶχε τὴν δι' αὐταρκείης ὁδοιπορέων. Καθάπερ δὲ τὸν παχέων ἐν εὐεξίῃ κίνδυνος πρόδηλος· οὕτω τὸ μέγεθος τῶν εὐτυχημάτων ἐπισφαλέστερόν ἐστι. Ἀρήσιμοι δὲ ἐπὶ τῇσι κακοδαιμονίῃσι ξυνθεωρουῦνται· Ἄλλοι δὲ τὰ τῶν πέλας μηδὲν ἱστορέοντες, ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπώλοντο. Τὰ δὲ δῆλα καθάπερ ἄδηλα μὴ θεωρέοντες ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες γινομένων καὶ μὴ γινομένων, ἐξ ὧν καὶ τὸ ἐσόμενον ἐχρῆν κατανοῆσαι. Ταῦτα δὲ ὁ ἐμὸς γέλως, ἄφρονες ἄνθρωποι πονηρίης δίκας ἐκτίνοντες, φιλαργυρίης, ἀπληστίης, ἔχθρης, ἐνεδρείης, ἐπιβουλῆς, βασκανίης, ἀργαλέον ἐξειπεῖν μηχανὴν κακῶν. Ἀπειρίη γάρ τις ἐστί. Κἂν τούτοισι δολοπλοκίῃσιν ἀνθαμιλλέονται σκολιόφρονες· Ἀρετῆς δὲ παρ' αὐτοῖς τρόπος ἐστὶ τὸ χείριον. Φιλοψευδίην γὰρ ἀσκέουσι, φιληδονίην κόσμου, νόμοισιν ἀπειθέοντες. Ὁ δὲ αὐτῶν κατακρίνει τὴν ἀπροαιρεσίην, μήτε ὁρήσιος, μήτε ἀκοῆς μετέχοντας.

Μὲ-

Quod si secundum propriã sua facultatẽ omnia facere studeret, vitã suam sine errore custodiret, semetipsum cognoscens, & propriam generationẽ probe sciret, nec sui desiderij studiũ in infinitum extenderet, & per naturã tàm diuitem, & omniũ nutricem suis cõtentus iter vitæ perageret. Quemadmodũ autem in bonâ valetudine ab adfectibus euidens periculum est: ita etiam magnitudo felicitatis periculosior est: at cõtra viri fortes in calamitatibus spectantur. Alii verò prope se nihil periculi cernentes suâ ꝓpriâ malitiâ pereunt. Interea quæ manifesta sunt tanquã obscura non vident, cũ tamen lõgam vitã illorum quæ fiunt, & nõ fiunt documentũ habeant, ex quibus etiam illos futura cognoscere oportebat. Hæc ego rideo. Stulti homines pœnas luentes suæ malitiæ, auaritię, insatiabilitatis, odii, insidiarũ, conatuum, inuidiæ. Difficile est omnium malorũ machinas eloqui: infinitæ enim sunt. Et in huiusmodi versutiis homines prauis cordibus alii alios æmulãtur. Virtutis autẽ decor apud illos est, id ꝙ deterius est. Nam mẽdacia exercẽt, & amore voluptatũ mũdi legib. immorigeri sunt. Hic verò illorũ temeritatẽ dãnat, ꝗppe ꝗ visu, & auditu

careant. Solo verò ſenſu hominis lucidæ rationis veritas dignoſcitur. Et cum preſentia, & futura præuideant; omnibus tamē offenduntur, & rurſus iiſdem poſtea implicātur. Qui nauigaturos ſe negarunt, nauigant: qui agriculturā cōdēnarunt, agrū colūt: qui vxorē domo eiecerunt, aliā ducūt: qui pueros quos genuere ſepelierunt, alios educāt: Senectutē exoptāt ad quam vbi peruenerunt ingemiſcunt. Et in nulla omnino vitę cōditione firmā obtinent animi ſententiā. Principes & reges priuatos beatos eſſe iudicāt: ille qui Remp. adminiſtrat artificē tanq̃ ſecurū, artifex illū rurſus tāquā ꝑ omnia ꝓpotētē. Nam verā ſecuritatis viā purā planā & omni errore vacuā, quā ne vllus quidē ingredi auſus, nō ꝑſpiciunt: ſed in cōtrariā & tortuoſā feruntur, ꝑ aſpera incedētes, ruentes, impingētes, plurimi etiā decidētes, & anhelātes tanquā qui fugentur: alii cōtendētes: alii tardius venerunt, alii ꝓcedunt. Et illorū quoſdam ſui met impii amores, alieni lecti fures, impudentiâ ſuâ fretos, vendiderunt: Quoſdam macerat auaritia infinitum malum. Alii aliis inſidiantur. Alii ambitione in ſublime elati malitiæ pōdere in perditionis profundum ferūtur.

Κατασκάπτουσιν ἐπικοτεομέοντες· χαρίζονται εἶτα μετανοοῦσι, καὶ ἀφαιρέονται τὰ φιλίης δ' ἤδη κακοπραγέοντες εἰς ἔχθρην, τὰ συγγενείης πολεμοῦσι. Καὶ τούτων αἴτιον ἡ φιλαργυρίη. Τί νηπίων ἀθυρεόντων διαφέρουσι, παρ' οἷσιν ἄκριτος μὲν ἡ γνώμη, τὸ δὲ προσπεσὸν τερπνόν. Ἐν δὲ τοῖσι θυμοῖς τί πλεῖον ζώοις ἀλόγοισι παραλελοίπασι; Πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσιν οἱ θῆρες. Τίς γὰρ λεόντων εἰς γῆν κατέκρυψε χρυσόν; τίς ταῦρος πλεονεξίην ἐκορύξατο; τίς πάρδαλις ἀπληστίην κεχώρηκε; Διψᾷ μὲν ἄγριος σῦς ὅσον ὕδατος κορεσθῇ· λύκος δὲ διαρδάψας τὸ προσπεσὸν τῆς ἀναγκαίης τροφῆς, ἀναπέπαυται. Ἡμέρῃσι δὲ, καὶ νυξὶ συναπτομένῃσιν οὐκ ἔχει κόρον ὁ ἄνθρωπος. Χρόνων μὲν ἐνιαυσίων τάξις ὀχείης ἀλόγων ἐστὶ τέρμα· ὁ δὲ τὸ διηνεκὲς οἰστρομανίην ἔχει τῆς ἀσελγείης, Ἱππόκρατες. Μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα, ὅτι συμφερόντως ἀποκέκλεισται; Μάλιστα δ' ἂν ῥιψοκινδυνῇ, καὶ φέρηται κατὰ βυθῶν, ἢ κρημνῶν πελάγους, ἐπιτείνω τὸν γέλωτα. Μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα καὶ μεταμεμφόμενον τῇ θαλάττῃ ὅτι κατεβύθισε τὴν πλήρη; Ἐγὼ

Alia solo æquãt, alia ædificãt: &gaudẽt, mox iisdẽ dolent. Quin etiã amicitiæ legibus priuantur: & suis odiis miseri sunt, & cognationis iura violant: Et horũ omniũ vna auaritia causa est. Nã quid à pueris ludentibus differunt, quorũ voluntas ratione caret, & quidquid illis in mentẽ venit, gratũ est? In horũ verò animis quid excellentius quàm brutis animalibus relictum? Nisi quod ferę illis quę habẽt cõtentæ viuunt. Quis enim Leonũ terrâ aurũ abscõdit? Quis taurus auaritiã excitauit? Quis Pardus vnquã insatiabili desiderio captus fuit? Sitit quidẽ aper tantũ aquæ, quanto satiatur: Lupus necessarios cibos qui in promtu sunt, vbi depastus est, adquiescit. Homo verò diebus & noctibus iũctis nõ satiatur. Brutis animalibus certis anni temporibus constitutio Veneri finẽ præscribit: Homo verò cõtinuò insano libidinis furore correptus est, Hippocrates. Non rideam illũ qui ob amorẽ flet, si suo magno cõmodo exclusus sit? Maximè verò vbi se in pericula cõiecit, & in profunda, & pręcipitia pelagi fertur, risum intendo. Non rideã enim, vbi quis multis mercibus nauem demergit, postea mare incusat, quod plenã profundo submerserit

Ἐγὼ μὲν οὐκ ἀξίως δοκέω γελᾶν· Ἐξευρεῖν δὲ κατ' αὐτὴν ἤθελόν τι λυπηρόν. Ἀλλ' οὐδὲ ἰατρικὴν ὑπὲρ τούτων ἔχρην εἶναι μὴ τεχνωμένην Παιώνια φάρμακα. Ὁ σὸς πρόγονος Ἀσκληπιὸς νουθεσία σοι γινέσθω, σώζων ἀνθρώπους, κεραυνοῖσιν εὐχαριστεῖται. Οὐχ ὁρᾷς ὅτι κἀγὼ τῆς αὐτῆς μοίρης εἰμὶ μανίης διζήμενος αἰτίην, καὶ ζῶα κατακτείνω καὶ ἀνατέμνω; Ἔχρην δὲ ἐξ ἀνθρώπων τὴν αἰτίην ἐρευνῆσαι. Οὐχ ὁρᾷς ὅτι καὶ ὁ κόσμος μισανθρωπίης πεπλήρωται, καὶ ἄπειρα κατ' αὐτοῦ πάθεα συνήθροισεν; ὅλος ἄνθρωπος ἐκ γενετῆς νοσσός ἐστι, τρεφόμενος ἄχρηστος ἱκέτης βοηθείης, αὐξανόμενος ἀτάσθαλος, ἄφρων διὰ χειρὸς παιδαγωγίης, θρασὺς ἀκμάζων, παρακμάζων οἰκτρός, τοὺς ἰδίους χρόνους ἀλογιστίῃ γεωργήσας. Ἐκ μητρώων γὰρ λύθρων ἐξέθορε τοιοῦτος· διὰ τοῦτο καὶ οἱ μὲν θυμικοὶ καὶ ὀργῆς ἀμέτρου γέμοντες· οἱ δὲ ἐν φθορῇσι καὶ μοιχείῃσι διὰ παντός· οἱ δὲ ἐν ἐπιθυμίῃσι τῶν ἀλλοτρίων· οἱ δὲ ἐν ἀπωλείῃ τῶν σφετέρων. ὤφελε δύναμις ὑπῆρχε τὰς ἁπάντων οἰκησίας ἀνακαλύψαι, τὰ μηδὲν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα, εἶθ' οὕτως ὁρᾶν τὰ πρησσόμενα ἔνδον. Εἴδομεν ἂν τοὺς μὲν ἐσθίοντας, οὓς δὲ ἐμέοντας, ἑτέρους δὲ αἰκίῃσι στρεβλοῦντας, τοὺς δὲ φάρμακα κυκέοντας, τοὺς δὲ συννοοῦντας ἐπιβουλὴν, τοὺς δὲ ψηφίζοντας, ἄλλους χαίροντας, τοὺς δὲ κλαίοντας,

merſerit? Nõ ergo merito his ridere videor. ſed cõtra huiuſmodi aliquid triſte poti⁹ inveniſſe mallẽ. Sed neq; horũ medicinã eſſe oportebat, q̃ nõ Pæonia pharmaca machinaretur. Progenitor tu⁹ Aſclepi⁹ hoc ipsũ te admonuiſſe debebat, q homines ſanãs, fulmine gratiã reportat. Nõne vides & me eiuſdẽ fati, q inſaniæ cauſſas inquiro & animalia occido, & diſſeco? Fas n. erat ex ipſis hominib⁹ cauſſas indagare. Nõne vides, q̧ ipſe mũdus odio hominis plen⁹ ſit? & infinitos morbos cõtra ipsũ accumulet? Vniuers⁹ homo inde à natiuitate ſua morb⁹ eſt: cũ educatᷣ, ſibi auxiliũ implorare nõ poteſt, vbi creuerit ſtolid⁹ eſt, cũ puer manu ducitur ſtultus, cũ ad pubertatẽ acceſſit temerari⁹, vbi ad ſeniũ crudelis, & vitę ſuę tẽpora imprudẽter collocat. Ex materno n. ſanguine talis exſilijt, & pinde alij iracũdi sũt & immoderata ira feruẽt, alij p õnia corruptionib⁹, & adulteriis: alii aliena deſiderãt, alij ſua perdũt. Facultatẽ adeſſe oportebat, vt qs omniũ domos retegeret, nihilq; eorũ q̃ int⁹ abſcõſa ſunt relinqueret, & ſic õnia q̃ int⁹ agerẽtur videret. Ibi verò cernerem⁹ alios edẽtes, alios vomẽtes, alios calamitatibus torqueri, alios venena miſcere, alios in aliorum inſidias conſpirare, alios computantes, alios gaudentes, alios flentes,

οὓς δὲ ἐπὶ κατηγορίην τῶν φίλων συγγράφοντας, οὓς δὲ διὰ φιλοδοξίην ἔκφρονας, καί τοι γε βαθύτεραι πρήξιες τῶν κατὰ ψυχὴν κευθομένων. Καὶ τούτων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται, αἰτοῦντες, ἀρνεύμενοι, πενόμενοι, περιουσιάζοντες, λιμῷ θλιβόμενοι· οἱ δὲ ἀσωτίῃ βεβαρημένοι, ῥυπόοντες, δέσμιοι· οἱ δὲ τρυφῇσι γαυριῶντες, τρέφοντες, ἄλλοι δὲ θάπτοντες ὑπερφορέοντες ἃ ἔχουσι πρὸς τὰς ἐλπιζομένας πρήξιας ὁρμώμενοι. οἱ μὲν ἀναίσχυντοι, οἱ δὲ φειδωλοὶ, οἱ δὲ ἄπληστοι· οἱ μὲν φονεύοντες, οἱ δὲ τυπτόμενοι, οἱ δὲ ὑπερηφανέοντες, οἱ δὲ ἐπαιρόμενοι κενοδοξίῃ. καὶ οἱ μὲν ἵπποισι παρεστῶτες, οἱ δὲ ἀνδράσιν, οἱ δὲ κυσὶν, οἱ δὲ λίθοισιν ἢ ξύλοισι. Καὶ οἱ μὲν πρεσβείῃσιν, οἱ δὲ στρατηγίῃσιν, οἱ δὲ ἱερωσυνῃσιν· Οἱ δὲ στεφανηφορέοντες, οἱ δὲ ἐν ὅπλοισιν, οἱ δὲ ἀποκλιννύμενοι. Φέρονται δὲ τούτων ἕκαστοι οἱ μὲν ἐπὶ ναυμαχίην, οἱ δὲ ἐπὶ στρατηγίην, οἱ δὲ ἐπ' ἀγροικίην, ἕτεροι δὲ ἐπὶ νῆας, οἱ δὲ ἐπ' ἀγορὴν, οἱ δὲ ἐπ' ἐκκλησίην, οἱ δὲ ἐπὶ θέητρον, οἱ δὲ ἐς φυγαδείην, ἄλλοι ἀλλαχόσε. οἱ μὲν ἐς φιληδονίην, καὶ ἡδυπαθείην, καὶ ἀκρασίην· οἱ δὲ ἐς ἀργίην, καὶ ῥαθυμίην. Τὰς ἀναξίους οὖν, καὶ τὰς δυστήνους σπουδὰς τοιαύτας ὁρῶντες πῶς μὴ χλευάσωμεν

τὴν

alios ſuorum amicorum accuſationes conſcribere: alios ambitione delirare. Quamuis longè profundiora opera ex illis, quæ in animo recōdita ſunt. Et horum quotquot ſint, ſiue pueri ſiue ſenes, alii aliquid optāt, alii recuſant, alii mendicant, alii diuitiis adfluunt, alii inediâ cōtabeſcunt, alii luxu diffluunt, alii in ſordibus, alii in vinculis, alii in delitiis ſuperbiunt. Alii nutriunt, alii ſepeliunt: alii illis quæ habent cōtemtis, ad alia ſperata opera impelluntur. Alii impudentes ſunt, alii ſordidi, alii auari. Alii interficiunt, alii vapulant. Alii ſuperbi ſunt, alii vanâ gloriolā efferuntur. Et alii quidem equis adſiſtunt, alii viris, alii canibus, alii lapidibus, alii ignis. Alii rurſum in legationibus, alii in exercitu, alii in ſacerdotio. Alii item coronati, alii in armis, alii occiſi. Atq; horū quilibet feruntur, alii ad naualem pugnā, alii ad exercitum, alii ad agriculturam, alii ad naues, alii ad forum, alii ad conciones, alii ad theatra, alii in exilium, alii aliò. Rurſum alii ad voluptatis ſtudium, alii ad mollitiem & incontinentiam: alii ad ignauiam, & ſocordiam. Eiuſmodi igitur indigna, & miſera mortalium ſtudia intuentes, quî fieri poteſt: vt il-

τὴν ἀκρασίην ἔχοντα βίον αὐτῶν. Κάρτα γὰρ ἔλπομαι μηδὲ τὴν σὴν ἰατρικὴν ἁνδάνειν αὐτοῖς. Δυσαρεστεῦνται γὰρ ἀκροήσει, καὶ μανίην τὴν σοφίαν νομίζουσι. Ἤκουσα γὰρ ὑπὸ νοσεόντων σαφέως λωβᾶσθαί σου τὰ πολλὰ τὰς ἐπιστήμας, ἢ διὰ φθόνον, ἢ δι' ἀχαριστίην. Οἵ τε γὰρ νοσέοντες ἅμα τῷ σώζεσθαι, τὴν αἰτίην ἢ θεοῖσιν ἢ τύχῃ προσνέμουσι· πολλοὶ δὲ τῇ φύσει προσψηφίσαντες ἐχθραίνουσι τὸν εὐεργετήσαντα μικροῦ δεῖν προσαγανακτέοντες, εἰ νομίζονται χρεωφειλέται. οἵ τε πολὺ τὸ τῆς ἀτεχνίης ἐν ἑαυτοῖς ἔχοντες, ἀΐδριές τε ὄντες καθαιροῦσι τὸ κρεῖσσον. ἐν ἀναισθητέουσι γὰρ εἰσιν αἱ ψῆφοι. Οὔτε οἱ πάσχοντες ἐξομολογέειν ἐθέλουσι, οὔτε οἱ ὁμοτεχνέοντες μαρτυρεῖν. Φθόνος δὲ ἐνίσταται. οὐκ ἄπειρος οὖν τῶν τοιούτων λεχέων, ταῦτα σαφέως εἰδὼς ἐν ἀναξιοπαθείῃσι σε πολλάκις γενηθέντα, καὶ δι' οὐσίην τε καὶ βασκανίην φιλοτώθαστον. Ἀτεχνίης γὰρ οὐδεμιῆς γνῶσις, οὔτε μαρτυρίη. Λέγων ταῦτα ἐπεμειδία, καί μοι Δημάγητε θεοειδής τις κατεφαίνετο, καὶ τὴν προτέρην αὐτοῦ μορφὴν ἐξελελήσμην. Καί φημι· ὦ Δημόκριτε μεγαλόξεινε· μεγάλας γὰρ τῶν σῶν ξενίων δωρεὰς εἰς Κῶν ἀποίσομαι.

Πολ-

vt illorũ vitam non irrideamus, in qua tantum incontinentiæ. Validè enim iam spero, ne tuam quidẽ medicinam amplius eis placere: offenduntur enim illam audire, & Sapientiam insaniam esse existimant. Perspicuè enim audiui tuam artem sæpissimè ab ægrotantibus calumniosè improbari, aut ob inuidiam, aut ingratitudinem. Aegrotantes enim simul sanitati restituti sunt, caussam eius aut Diis, aut Fortunæ attribuunt: multi etiam naturæ illud adfingentes, benefactorem odio prosequuntur, leuem illis gratiam deberi cum indignatione referentes, non secus ac si debitores essent: & qui omnis artis rudes & indocti sunt, id quod melius est è medio tollunt. Nam in brutis tantum ratio inest. Nec qui patiuntur illud fateri volunt, nec qui vnà agunt testari. Inuidia enim obstat. Harum calumniarum cũ ignarus non sim, certo hoc scio te in vitæ tædia sępe incidere, & ꝓpter opes tuas & propter inuidiã, quæ cõuitiis gaudet. Veritatis enĩ nulla cognitio, neq; testimoniũ. Cũ hæc dixisset subridebat: Et mihi, Demagete Deo cuidã similis videbatur, & priorẽ ei⁹ formã oblit⁹. O Democrite, ĩquã, hospitũ maxime: magna enĩ tui hospitii munera in Co referã.

Nam

Πολλοῦ γάρ με τῆς σοφίας θαυμασμοῦ πεπλήρωκας. Ἀπονοστέω τέ σευ κήρυξ ἀληθείην ἀνθρωπίνης φύσεως ἐξιχνιάσαντος, καὶ νοήσαντος, καὶ λαλήσαντος, θεραπείην τε λαβὼν παρὰ σεῦ τῆς ἐμῆς διανοίης ἀπαλλάττομαι, τῆς ὥρης τοῦτ' ἀξιούσης, καὶ τῆς τοῦ σώματος ἡμελίης. Αὔριον δὲ κατὰ τὸ ἑξῆς ἐν ταυτῷ γενησόμεθα. Ἀνιστάμην ταῦτ' εἰπών. Καὶ ὃς ἕτοιμος ἦν ἐπακολουθεῖν. Προσελθόντι δέ μοι, οὐκ οἶδ' ὅθεν, ἐπεδίδου τὰ βιβλία. Κἀγὼ συντονότερον ἐπείξας πρὸς τοὺς ὄντας Ἀβδηρίτας ἐπὶ τῇ σκοπῇ ἀναμένοντάς με· ἄνδρες, ἔφην, τῆς πρὸς με πρεσβείης χάρις πολλή. Δημόκριτον γὰρ εἶδον ἄνδρα σοφώτατον σωφρονίζειν ἀνθρώπους μόνον δυνάμενον. Ταῦτα ἔχω σοι περὶ Δημοκρίτου Δαμάγητε φράζειν, γηθόσυνος πάνυ. Ἔρρωσο.

ΔΗΜΟΚΡΙΤΟΣ ἹΠΠΟΚΡΑΤΕΙ.

Ἐπῆλθες ἡμῖν, ὦ Ἱππόκρατες, ὡς μεμηνόσιν ἐλλέβορον δώσων, πεισθεὶς ἀνοήτοις ἀνδράσι, παρ' οἷς ὁ πόνος μανίη κρίνεται. Ἐτυγχάνομεν δὲ περὶ κόσμου διαθέσιος, καὶ πολυγραφίης, ἔτι τε ἄστρων οὐρανίων συγγράφοντες.

Γνοὺς

Nam plurimâ me ſapientiæ admiratione impleuiſti: Et tuus præco reuertor, qui ſolus humanæ naturæ veritatem indagâſti, & cognouiſti, & elocutus es. Iam ergo cum meæ rationis à te remedium ſumſerim, abeo, cum hora & corporis cura idipſum iubeat. Cras & deinceps rurſus conueniemus. Hæc cum dixiſſem, ſurrexi, vt qui & ſubſequi paratus eſſem. Ille vero neſcio vnde accedenti libros tradebat: Ego autem vehementius feſtinans ad Abderitas qui me in ſpecula expectabant: O viri, inquam, pro veſtra ad me legatione magnas habeo gratias. Nam Democritum vidi virum ſapientiſſimum, qui ſolus homines ſapientes reddere poteſt. Hæc habui, Demagete quæ tibi de Democrito dicerem lætus admodum. Vale.

DEMOCRITVS HIPpocrati.

ACceſſiſti ad nos, Hippocrates, tãquam inſanis Elleborũ daturus, perſuaſus à ſtultis hominibus, quibus labor & ſtudiũ inſania creditur. Nos verò de mũdi ſitu, & deſcriptione poli, & porro cœleſtib⁹ ſtellis ſcribim⁹.

Γνοὺς δὲ τὴν τούτων φύσιν, ὡς ἀτρεκέως κατὰ τὰ ἔτη δεδημιουργημένα, καὶ ὡς τηλοῦ μανίης καὶ παραφρονήσιος καθεστήκοι, ἐμέο μὲν φύσιν ἐπῄνεσας. ἀπλωέας δὲ, καὶ μεμηνότας ἐκείνους ἔκρινας. ὁκόσα γὰρ ἰνδαλμοῖσι διαλλάσσοντα ἀνὰ τὸν ἠέρα πλάζει ἡμέας, ἃ δὴ κόσμῳ συνορᾶται, καὶ ἅμα μοίρης μιῆς ἐόντα τέτευχε, ταῦτα νόος ἐμὸς φύσιν ἐρευνήσας ἀτρεκέως ἐς φάος ἤγαγε. μάρτυρες δὲ τούτων βίβλοι ὑπ' ἐμέο γραφεῖσαι. Χρὴ οὖν καί σε ὦ Ἱππόκρατες, μὴ τοιουτοτρόποισιν ἀνδράσιν συνέρχεσθαι καὶ συνομιλέειν, ὧν νόος ἀκρόπλοος, καὶ ἀβέβαιος καθέστηκεν. Εἰ γὰρ πεισθεὶς τούτοισιν, ὡς μεμηνότα με ἐπότισας, ἡ πιτυὼν μανίη ἂν ἐγεγόνει, καὶ σέο τέχνην ἂν κατεμέμψαντο ὡς παραίτιον παρακοπῆς γεγενημένην. Ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς ἐπισκοτεῖ διάνοιαν· μεμηνόσι δὲ δοθεὶς, κάρτα ὠφελεῖ. Γνῶθι γὰρ ὡς, εἰ μὴ καταλελαβήκεις με γράφοντα, ἀλλ' ἀνακεκλημένον, ἢ σχέδην περιπατοῦντα καὶ προσομιλεῦντα ἑαυτῷ, καὶ πολλάκις ὅτε μὲν δυσχεραίνοντα, ὅτε δὲ μειδιῶντα ἐπὶ τοῖσιν ἐννοευμένοισιν ὑπ' ἐμεῖο, καὶ τοῖσι μὲν προσομιλεῦσι τῶν γνωρίμων οὐ προσέχοντα, ἐφιστάνοντα δὲ τὴν διάνοιαν, καὶ σκεπτόμενον ἱκανῶς, ἔγνως ἂν Δημόκριτον κατὰ τὴν ὄψιος κρίσιν ἐκ τῶν ὁρεομένων μανίης εἰκόνι ἐοικέναι.

Χρὴ

Quorum naturam cum non ignores, quòd verè & solidè admodum fabricata sint, & quàm procul ab insaniâ & stultitiâ absint, meā naturā collaudâsti: illos contra crudeles & insanos iudicâsti. Quęcunque phantasmatibus induta in aëre nos seducūt, quæcunq; in mundo cernuntur, & vnius sortis sunt; illa mens mea naturam humanam perscrutans reuera in lucem produxit. Testes sunt libri à me conscripti. Quare & nefas est ô Hippocrates, cum ita animatis hominibus familiariter viuere & conuersari, quorum mens in superficie rerum tantum hęret, & incōstans est. Si enim illis fidē habens, tanquā insano remediū mihi ꝓpinasses, illa potio mihi in insaniā cessisset & artē tuā reprehēdissent, tanquā q̄ insaniæ caussa fuisset. Elleborus n. sanis datus rationi caliginē inducit: sin v. insanis, valdè ꝓdest. Certò enim scio, ꝙ si me scribentē non deprehendisses, sed iacentē, aut pedetētim ambulantem, secumque conuersantem, & sæpius mox indignari, mox ridere, & familiares mecum cōuersantes non curare, sed Sapientiā curiosè adpetere, & studiose inquirere: Iudicasses vtiq; Democritū ex visis & vultus iudicio insano persimilē fuisse.

F 2 Decet

Χρὴ οὖν τὸν ἰατρὸν μὴ μόνον ὄψει τὰ πάθεα κρίνειν, ἀλλὰ καὶ πράγμασι· τούς τε ἐρυγμοὺς ἀνακρίνειν ὡς ἐπιτοπλεῖστον, καὶ πότερον ἄρχοιτο τὸ πάθος, ἢ μεσάζοι, ἢ λήγοι, καὶ διαφορὴν, καὶ ὥρην, καὶ ἡλικίην παρατηρέειν. εἶτα ἰατρεύειν τὸ πάθος, ὁλομελίην τε τοῦ σκήνεος. Ἐκ γὰρ τουτέων ἁπάντων εὐχερῶς ἂν τὰς νούσους εὑρήσεις. Ἀπέσταλκα δέ σοι τὸν περὶ μανίης λόγον.

ΙΠΠΟΚΡΑΤΗΣ ΔΗΜΟΚΡΙΤΩι.

Ἰητρικῆς τέχνης, ὦ Δημόκριτε, κατορθώματα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐ παντάπασιν ἐπαινέουσι, θεοῖσι δὲ πολλάκις προσαρτῶσι· ἂν δέ τι ἡ φύσις ἀντιπράξῃ, καὶ ἀπολέσῃ τὸν θεραπευόμενον, τὸν ἰητρὸν καταμέμφονται παρέντες τὸ θεῖον. Καὶ ἐγὼ δοκέω πλείονα μεμψιμοιρίην ἢ τιμὴν κεκληρῶσθαι τὴν τέχνην. Ἐγὼ μὲν γὰρ ἰητρικῆς ἐς τέλος οὐκ ἀφῖγμαι, καίπερ ἤδη γηραλέος κατεστώς. Οὐδὲ γὰρ ὁ ταύτης εὑρετὴς Ἀσκληπιός, ἀλλὰ καὶ αὐτὸς διεφώνησε, καθάπερ ἡμῖν συγγραφέων βίβλοι παραδεδώκασιν. ἡ μὲν οὖν ὑπὸ σέο ἀποσταλεῖσα ἡμῖν ἐπιστολὴ καταμέμφεται τῆς φαρμακείης τοῦ ἐλλεβόρου.

Εἰ-

Decet ergo Medicum, non ſolum ex facie adfectiones diiudicare, ſed etiam ex operibus, & eructationes plerunq; conſiderare, & num inceperit morbus, an in medio iam ſit, an deſinat, & differentiam, tempus, & ætatem obſeruare: Dein medicamenta adhibere ad morbũ & vniuerſi corporis ſtructuram. Ex his enim omnibus morbos facilè deprehendes. Et ſic tibi de inſaniâ ſermonẽ miſi.

HIPPOCRATES Democrito.

ARtis medicę officia, ô Democrite, multi hominum non omnino laudant, ſed Diis ſanitatẽ acceptam referunt. Quod ſi natura repugnet, & illum qui curatur interemerit, medicum incuſant, & DEVM prætereunt. Et ego ſanè ſentio plus querelarũ, quàm laudum artem medicam ſortiri. Ego enim ad artis medicæ finem non perueni, quamuis iam ſenior. Sed neque huius inuentor Aeſculapius. Sed & ipſe diſſenſit, quemadmodum ex hiſtoricorum libris accepimus. Literæ igitur à te nobis miſſæ curationem Ellebori reprehendunt,

εἰσήχθην μὲν οὖν, ὦ Δημόκριτε, ὡς μεμηνότα ἐλλεβορίζων, οὐ καταμαντευσάμενος ὅς τις ποτ' εἴης. Ὡς δὲ ἐντυχὼν εἶδον, οὐ, μὰ Δία, παραφρονήσεως ἔργου, ἀλλὰ σχεδὸν ἀποδοχῆς πάσης, κάρτα τὴν φύσιν ἐπῄνεσα, ἄριστόν τε ἑρμηνέα φύσιος καὶ κόσμου ἐκεῖνα. Τοὺς δὲ εἰσαγαγόντας με ἐμεμψάμην ὡς μεμηνότας. Φαρμακείης γὰρ αὐτοὶ δέονται. Ἐπειδὴ τοίνυν ταὐτόματον ἡμέας εἰς ταὐτὸ συνήγαγεν, ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον, καὶ μεταδιδοὺς τῶν ὑπὸ σέο γεγραμμένων συνταγμάτων. Ἔπεσταλκα δέ σοι καὶ αὐτὸς τὸν περὶ ἐλλεβορισμοῦ λόγον. Ἔρρωσο.

Veni enim ad te, Democrite, tanquam insanum Elloboro curaturus, cum nondum satis explorassem, quis esses. Cum verò præsens coram vidi, non, per Iouem, naturam, tanquam ob insanię, sed omnis laudis & commendationis opus, maximopere collaudaui, teque infinitū naturæ & mundi artificē iudicaui. Qui verò me introducebant, tanquam insanos reprehendi. Nam illi ipsi medicinâ indigent. Quia igitur casu ita vnà cōuenimus, rectè feceris, si crebrius ad nos litteras miseris, & libros à te cōscriptos mihi cōmunicaueris. Atq; ita tibi & ipse de curatione per Elleborū sermonem misi.

Vale.



ΗΡΑΚΛΕΙΤΟΥ

ΕΠΙΣΤΟΛΑΙ.

ΒΑΣΙΛΕΥΣ ΔΑΡΕΙΟΣ ΗΡΑ-κλειτον Ἐφέσιον ἄνδρα σοφὸν προσαγορεύω.



Καταβέβλησαι λόγον γραπτὸν περὶ φύσεως δυσνόητόν τε καὶ δυσεξήγητον. Ἔν τισι μὲν οὖν ἑρμηνευόμενος κατὰ λέξιν σὴν, δοκεῖ μοι δύναμίν τινα προσφέρεσθαι θεωρίας κόσμου τοῦ σύμπαντος, καὶ τῶν ἀπὸ τούτου συμβαινόντων, ἅπερ ἐστὶν ἐν θειοτάτῃ κείμενα κινήσει· τῶν δὲ πλείστων ἐποχὴν ἔχοντα πρὸς ζήτησιν καὶ μάθησιν. ὥστε καὶ τοὺς ἐπὶ μετεσχηκότας γραμμάτων ἑλληνικῶν, καὶ τοὺς ἄλλους τοὺς ἀσχολουμένους περὶ τὴν τῶν μετεώρων προσοχὴν καὶ φιλομαθίαν, ἀπορεῖσθαι τῆς ἐν ὀρθῇ γνώμῃ παρά σοι δοκούσης καταγεγράφθαι διηγήσεως. Βασιλεὺς οὖν Δαρεῖος Ὑστάσπου βούλεται τῆς ἀκροάσεως μεταλαβεῖν, καὶ παιδείας λογικῆς. Ἔρχου δὴ συντόμως πρὸς ἐμὴν ὄψιν, καὶ βα-



HERACLETI EPISTOLAE.

EX DARIVS HERACLETVM EPHEsium virum sapientem compello.

EDidisti sermones de naturâ conscriptos, intellectu & interpretatu difficiles. In quibusdã igitur secundum tuum dicen-li modũ differens, videris mihi facultatem liquã adferre cõsiderationis vniuersi mũ-li,& eorũ quæ hinc proueniunt, & cõstitu-a sunt in diuinâ aliquâ motione,& pluri-nos in horũ inquisitione & cognitione re-norantur. Adeo vt etiã qui multùm in Græ-is literis profecerunt, & plurimum in Me-eororũ consideratione studii & diligentiæ osuerunt, tractatum illum nõ percipiant, qui tamen solidis rationibus à te conscri-tus est. Rex igitur Darius Hystaspi fi-ius te audire, & secundum rationem à e informari cupit. Velociter ergo in cõspectum meum & aulã regiam peruenias.

βασιλέων οἶκον. Ἕλληνες γὰρ ὡς ἐπιτοπλεῖστον ἀνεπισήμαντοι σοφιζομένοις ἀνδράσιν ὄντες, παρορῶσι τὰ καλῶς ὑπ' αὐτῶν ἐνδεικνύμενα πρὸς καλὴν ἀγωγὴν καὶ δίαιταν. Παρ' ἐμοὶ δὲ ὑπάρξει σοι πᾶσα μὲν προεδρία· Καθ' ἡμέραν δὲ καλὴ καὶ σπουδαία προσαγόρευσις, καὶ βίος εὐδόκιμος σαῖς παραινέσεσιν.

ΗΡΑΚΛΕΙΤΟΣ ΔΑΡΕΙΩι
βασιλεῖ πατρὸς Ὑστάσπεως
χαίρειν.

Ὁκόσοι τυγχάνουσιν ἐπιχθόνιοι τῆς μὲν ἀληθείης καὶ δικαιοσύνης ἀπέχονται· ἀπληστίῃ δὲ καὶ δοξοκοπίῃ προσέχουσι κακῆς ἕνεκα ἀνοίης. ἐγὼ δὲ ἀμνηστίην ἔχων πάσης πονηρίας, καὶ κόρον φεύγων παντὸς οἰκειούμενον φθόνου διὰ τὴν ὑπερηφανίην, οὐκ ἂν ἀφικοίμην εἰς Περσικὴν χώραν, ὀλίγοις ἀρκεόμενος κατ' ἐμὴν γνώμην.

ΒΑΣΙΛΕΥΣ ΔΑΡΕΙΟΣ
Ἐφεσίοις.

Ἀνὴρ ἀγαθὸς μέγα ἀγαθὸν πόλει, λόγοις καλοῖς καὶ νόμοις ψυχὰς ἀγαθὰς ποιεῖ, κυρίως ἄγων εἰς ἀγαθά. Ὑμεῖς δὲ Ἑρμόδωρον,

ræci enim plerunq; nullis ſapientum viorum laudibus clari, illa quæ pulcherrimè ipſis ad vitam rectè inſtituendam & deendam tradita ſunt contemnunt. Apud te verò in omnibus primas obtinebis, & ngulis diebus pulcra & honeſta conuerſao, & vita tuis præceptis minimè diſplitura.

ERACLETVS DAREO REGI PATRIS Hyſtaſpis filio. S.

QVotquot viuunt mortaliũ à veritate & iuſtitiâ alieni ſunt: Sed inſatiabilitate iactantiâ aguntur propter malã amentiã. go verò cum omni malitia valedixerim, & rum abundantiam vitem, quę ob ſuperam omnem ſibi inuidiam adiunctam haet, in Perſicam regionem non venero, m ſecundum meam ſententiam paucis mnino indigeam.

REX DAREVS EPHESIIS.

VIr bonus magnum Reip. bonum eſt, honeſtis ſermonibus & legibus aniias bonas reddit, illas tempeſtiuè ad na perducens. Vos autem Hermodorũ,

non

οὐ μόνον αὐτὸν βέλτιστον, ἀλλὰ καὶ Ἰώνων πάντων ἐξεβάλετε ἐκ πατρίδος αἰσχρᾶς αἰτίας ψυχῇ ἀγαθῇ προσάπτοντες. Εἰ μὲν οὖν διεγνώκατε βασιλεῖ πολεμεῖν δεσπότῃ, ἑτοιμάζεσθε· ἀποστελῶ γὰρ στρατιὰν, ἣ ὑμεῖς οὐ δυνήσεσθε ἀντιπαρατεθῆναι. Αἰσχρὸν γὰρ βασιλεῖ μεγάλῳ μὴ ἀρκέειν φίλοις. Εἰ δὲ μηδὲν τοιοῦτο ἐγχειρήσετε, κατάξατε Ἑρμόδωρον, καὶ ἀπόδοτε αὐτῷ πατρῴαν κτῆσιν, μνημονεύοντες ἃ ὑμᾶς ἐκεῖνος εὐνοίᾳ εὐηργέτησε, φόρους ἐλάττους τάξας ὧν ἐφέρετε, καὶ γῆν πολλὴν δοὺς πρὸς ἣ ἐκέκτησθε. Νῦν οὐκ ἐοίκατε χάριν ὀφείλειν. Οὐ γὰρ ἄν ποτε Ἑρμόδωρον φίλον βασιλέως ἐφυγαδεύσατε. Ἀποστείλατε οὖν ἄνδρας τοὺς ἐροῦντας πρός με τὸ δίκαιον ὑπὲρ ὧν ἐγκαλεῖτε Ἑρμοδώρῳ· ἵν' ἐὰν μὲν ἐκεῖνος ἀποδειχθῇ κακοφρονῶν, ἐπιτιμηθῇ· ἐὰν δὲ ὑμεῖς, ἐπὶ νοῦν βέλτιον θῶμαι, καὶ εἰς τὸ λοιπὸν ἁμαρτάνειν κωλύσω εἰς ἀγαθοὺς ἄνδρας. Καὶ γὰρ βασιλεῖ ἡμετέρῳ συμφέρει ταῦτα, καὶ ὑμῖν.

ΗΡΑΚΛΕΙΤΟΣ ἙΡΜΟΔΩΡΩ.

Ἤδη μηκέτι τοῖς ἑαυτοῦ χαλέπαινε Ἑρμόδωρε. Εὐθύκλεις ὁ Νικοφῶντος τοῦ συλήσαντος

τὴν

ɔn modo ipsum virum optimum, sed o-
nium etiam Ionum è patria eiecistis, tur-
ssima crimina optimæ animæ adfingen-
s. Si igitur contra regem Dominum ve-
um arma capere constituistis, parate vos:
ittam enim exercitum, cui vos resistere
ɔn poteritis. Turpe enim magno regi
is amicis opitulari non posse. Sin nihil
usmodi tentabitis, reducite Hermodorũ,
siq; paternam possessionem reddite, re-
ɔrdati, quanta beneficia eius beniuolen-
ì adductus in vos contulerim, tributa vo-
s minora imponens quam ferebatis, &
iagnam vobis terram donans ad illam
uam possedistis. Cui nullam omnino gra-
ım referendam statuistis: alias enim Her-
ıodorum exilio non mulctassetis. Mittite
go viros, qui apud me iustitiam dicant, de
is, quibus Hermodorum accusatis: Vt si
e malitiæ conuictus fuerit, puniatur: sin
ɔs, ad meliorem mentem vos reuocem, &
ı posterum in viros bonos aliquid delin-
ıere prohibeam. Nam & vestri regis hoc
terest, & vestra.

HERACLETVS HERMODORO.

NOn ampli⁹ tuũ ꝓpriũ infortuniũ mo-
lestè feras, Hermodore. Euthycles Ni-
cophontis

τὴν θεὸν ἀσεβείας με γέγραπται ἄνδρες σοφίᾳ προὔχοντα ἀπαιδευσίᾳ νικῶν. Ὡς οὖν ἐπέγραψα τῷ βωμῷ, οὗ ἐπέστησα τὸ ἐμὸν ὄνομα, θεοποιῶν ἄνθρωπον ὄντα ἐμαυτὸν, εἶτα κριθήσομαι ὑπὸ ἀσεβοῦς ἐν ἀσεβέσι. Τί οἴει; Δόξω αὐτοῖς ἀσεβὴς εἶναι, ἐναντία φρονῶν οἷς αὐτοὶ περὶ θεῶν νομίζουσιν; εἰ καὶ πεπηρωμένοι ἐκεῖνον ὄψιν, τυφλότητα ἂν ἔλεγον τὴν ὅρασιν; Ἀλλ' ὦ ἀμαθεῖς ἄνθρωποι, διδάξατε πρῶτον ἡμᾶς, τί ἐστιν ὁ Θεὸς ἐν τοῖς ναοῖς ἀποκεκλεισμένος. Εὐσεβεῖς γε, οἱ ἐν τῷ σκότει τὸν θεὸν ἱδρύετε. Ἄνθρωπος λοιδορίαν ποιεῖται, λίθινος εἰ λέγοιτο· θεὸς δὲ ἀληθεύεται, ὡς τοῦτο τὸ εὐώνυμον ἐκ κρημνῶν γεννᾶται. Ἀπαίδευτοι, οὐκ ἴστε ὅτι οὐκ ἐστὶ θεὸς χειρότμητος; Οὐδὲ ἐξ ἀρχῆς βάσιν ἔχει οὐδὲ ἔχει ἕνα περίβολον, ἀλλ' ὅλος ὁ κόσμος αὐτῷ ναός ἐστι, ζώοις, καὶ φυτοῖς, καὶ ἄστροις πεποικιλμένος. Ἡρακλεῖ ἐπέγραψα τῷ ἐφεσίῳ τὸν βωμὸν, πολιτογραφῶν ὑμῖν τὸν θεὸν, οὐχ Ἡρακλείτῳ. Ἂν δὲ ὑμεῖς ἀξιωτῆτε γράμματα, οὐκ ἐμὴ ἀσέβεια τὸ ὑμῶν ἀπαίδευτον. Μανθάνετε σοφίην, καὶ συνίετε.

ἀλλ'

phontis illius sacrilegi filius impietatis
: accusauit, virum Sapientiâ præstantem
guæ procacitate superãs: Quasi aræ, quod
stitueram, meum nomen adscripserim,
:ipsum homo cum sim Deum facien .
le iudicabor ab impiis in impietate. Quid
nses? Videborne illis impius, cum aliter,
àm illi de Diis sentiã & si faciem mutila-
n iudicem, & visum cæcitatem dicam?
:rum ô rudes homines docete nos prius
id sit ille DEVS, qui in templis concludi-
r? Nempè pii estis, qui in tenebris Deum
llocatis. Et homo quidem opprobrium
xerit, si lapideus dicetur: Deus autem ve-
huiusmodi est, tanquam sancta illa res è
pibus nascatur. O indocti! non scitis quod
:us manufactus non sit, neque ex prin-
›io fundamentum suum habeat, neque
cũferentiam habeat, sed vniuersus mũ-
s eius templum est, animalibus, planis,
stellis variegatus? Inscripsi aram Herculi
hesio, vobisq; hũc DEVM reliquis adiun-
nõ Heraclito. Quod si vos literas ignora-
, vestra ignorãtia mea impietas cẽseri non
bet. Discite ergo sapientiã, & cognoscite.

Sed

ἀλλ' οὐ θέλετε, οὐδ' ἐγὼ ἀναγκάζω. Γηράσκετε σὺν ἀπαιδευσίᾳ χαίροντες ἰδίοις κακοῖς. Ἡρακλῆς δὲ οὐκ ἄνθρωπος ἐγεγόνει, ὡς μὲν Ὅμηρος ἐψεύσατο καὶ ξενοκτόνος; Ἀλλὰ τί αὐτὸν ἐθεοποίησεν; Ἡ ἰδία καλοκαγαθία, καὶ ἔργων τὰ γενναιότατα τοσούτους ἐκτελέσαντα ἄθλους. Ἐγὼ οὖν, ὦ ἄνθρωποι, οὐκ αὐτός ἀγαθός εἰμι; Ἥμαρτον ἐρώμενος ὑμᾶς. Καὶ γὰρ εἰ τὰ ἐναντία ἀπεκρίνασθε, ὅμως ἀγαθός εἰμι. Καὶ ἐμοί γε πολλοὶ καὶ δυσχερέστατοι ἆθλοι κατώρθωνται. Νενίκηκα ἡδονάς, νενίκηκα χρήματα, νενίκηκα φιλοτιμίαν, κατεπάλαισα δειλίαν, κατεπάλαισα κολακείαν, οὐκ ἀντιλέγει μοι φόβος, οὐκ ἀντιλέγει μοι μέθη. Φοβεῖταί με λύπη, φοβεῖταί με ὀργή. Κατὰ τούτων αὐτὸν καὶ αὐτὸς ἐστεφάνωμαι, ἐμαυτῷ ἐπιτάττων, οὐχ ὑπ' Εὐρυσθέως. Οὐ παύσεσθε σοφίαν ὑβρίζοντες, καὶ ἴδια ἁμαρτήματα καὶ ἴδια ἐγκλήματα ἡμῖν προστριβόμενοι; Εἰ ἐδυνήσασθε μετ' ἐνιαυτοὺς ἐκ παλιγγενεσίας πεντακοσίους ἀναβιῶναι, κατελάβετε ἂν Ἡράκλειτον ἔτι ζῶντα. Ὑμῶν δὲ οὐδ' ἴχνος ὀνόματος. Ἰσοχρονήσω πόλεσι καὶ χώραις διὰ παιδείαν, οὐδέποτε σιγώμενος, κἂν ἡ Ἐφεσίων ἀνα-

d non vultis, neque ego vos cogã. Quare
m ruditate vestra consenescite, propriis ma-
 delectati. Hercules autem non homo
tus est, vt Homerus ipsum mentitus est, &
ospites suos trucidauit. Quid ergo ipsum
EVM fecit? Propria honestas & præclaris-
na illa opera, quæ talia certamina perfece-
nt. Ego ergo, ô homines, nonne ipse bo-
is sum? Sed peccaui, qui vos interrogem.
am si negaretis, tamen bonus sum, mihiq;
urimi & difficillimi labores cum laude
perati sunt. Superaui voluptates, superaui
uitias, superaui ambitionem, prostraui ti-
iditatem, prostraui adulationem: non
ntradicit mihi timor, non contradicit mi-
ebrietas; timet me dolor, timet ira. Hęc i-
à mihi coronam promerentur, eaq; mi-
ipsi, non Eurystheo subdita feci. Non de-
nitis Sapientiam contumeliâ adficere, &
stra peccata & scelera in nos coniicere?
 possetis post quingentos annos è genera-
one postliminio reuiuiscere, deprehende-
tis Heracletum adhuc viuere: Vestri atuẽ
ominis ne vestigium quidem superfutu-
um. Aequali tempore cum vrbibus &
gionibus propter doctrinam viuam, nec
cebor vnquam, quamuis Ephesiorum

ἀναρπαθῇ πόλις, καὶ οἱ βωμοὶ διαλυθῶσι πάντες, αἱ ἀνθρώπων ψυχαὶ τῆς ἐμῆς ἔσονται χώρια μνήμης. Ἄξομαι δὲ αὖτις γυναῖκα Ἥβην, οὐ τὴν Ἡρακλέους. Ἐκεῖνος ἀεὶ ἔσται μετὰ τῆς ἑαυτοῦ· ἕτερα δ' ἡμῶν γενήσεται. Πολλὰς ἀρετὴ γεννᾷ, καὶ Ὁμήρῳ ἔδωκεν ἄλλην, καὶ Ἡσιόδῳ ἄλλην, καὶ ὅσοι ἀγαθοὶ γίνωνται ἐνὶ ἑκάστῳ συνοικίζει παιδείας κλέος. Ἆρ' οὐκ εἰμὶ εὐσεβὴς Εὐθύκλεις, ὃς μόνος οἶδα θεούς; σὺ δὲ καὶ θρασὺς εἶναι οἰόμενος, καὶ ἀσεβὴς τὸν μὴ ὄντα δοκῶν. Ἐὰν δὲ μὴ ἱδρυθῇ θεοῦ βωμὸς, οὐκ ἔστι θεός; Ἐὰν δὲ ἱδρυθῇ μὴ θεοῦ, θεὸς ἐστίν; ὥστε λίθοι θεῶν μάρτυρες. ἔργα δεῖ μαρτυρεῖν οἷα ἡλίου, νὺξ αὐτῷ καὶ ἡμέρα μαρτυροῦσιν, ὧραι αὐτῷ μάρτυρες, γῆ ὅλη καρποφοροῦσα μάρτυς. Σελήνης ὁ κύκλος ἐκείνου ἔργον, οὐράνιος μαρτυρία.

ΗΡΑΚΛΕΙΤΟΣ ΑΜΦΙ-δάμαντι.

Νοσοῦμεν Ἀμφιδάμα νόσον ὕδρωπα, ὥστε, ὅσα ἐν ἡμῖν ἑκάστου τὸ κράτος νόσημα ..., ὑπερβολὴ θερμοῦ πυρετὸς, ὑπερβολὴ ψυχροῦ παράλυσις, ὑπερ-

ciuitas diripiatur, & omnes aræ destruantur, animæ hominum meæ memoriæ sedes erunt. Et ipse Iuuentam vxorem ducam: Nō illam Herculis: Nam ille semper apud suam erit Alia verò nostra erit. Multas enim virtus producit & Homero aliam dedit, & Hesiodo aliam, & quotquot boni fuerint, illorum vnicuiq; cohabitat doctrinæ gloria. An nō ego pius sum Euthycles, qui solus DEVM noui? tu verò temerarius, qui ipsum esse censes, & impius qui ipsum censes esse qui non est. Nunquid nisi à Deo extruantur Deus non erit? nunquid si cui ara erigatur qui DEVS non est, ille DEVS erit? Nempe lapides DEū testes. Opera DEVM testentur oportet, quale Solis; nox & dies ipsum testantur. Horæ ipsi vniuersa terra fructum producens testis, lunæ circulus eius opus, cœleste testimonium.

HERACLETVS AMphidamanti.

LAboramus, Amphidamas, morbo hydrope: adeo vt quidquid in nobis, eius virtus morbus sit. Excessus caloris febris, excessus frigoris paralysis,

ὑπερβολὴ πνεύματος πνῖγος. Ἡ νῦν ἐμὴ ὑγρὰ νόσος. Ἀλλὰ θεῖόν τι ψυχή, ἡ ἁρμόζουσα αὐτά. Ὑγεία ἐστὶ τῶν πρώτων ἰατρικώτατον φύσις. Οὐ γὰρ εἰκάζει ἡ πρώτη ἀτεχνία τὸ παρ' αὐτὴν, ἀλλὰ ὕστερον. Ἀλλὰ μιμούμενοι οἱ ἄνθρωποι ἐπιστήμην καὶ ἄγνοιαν ἐκάλεσαν. Ἐγὼ εἰ οἶδα κόσμου φύσιν, οἶδα καὶ ἀνθρώπου, οἶδα νόσους, οἶδα ὑγείαν, ἰάσομαι ἐμαυτὸν, μιμήσομαι θεὸν, ὃς κόσμου ἀμετρίαν ἐπανισοῖ ἡλίῳ ἐπιτάττων. Οὐχ ἁλώσεται νόσῳ Ἡράκλειτος. Νόσος Ἡρακλείτου ἁλώσεται γνώμῃ. καὶ ἐν τῷ παντὶ ὑγρὰ αὐαίνεται, θερμὰ ψύχεται. Οἶδεν ἐμὴ σοφία ὁδοὺς φύσεως, οἶδα καὶ νόσου παῦλαν. Ἐὰν δὲ φθάσαν ὑπεραντλεῖν γένηται τὸ σῶμα, δύσεται εἰς τὸ εἱμαρμένον· ἀλλὰ οὐ ψυχὴ δύσεται, ἀλλὰ ἀθάνατον οὖσα χρῆμα εἰς οὐρανὸν ἀναπτήσεται μετάρσιος. Δέξονται δέ με αἰθέριοι δόμοι, καὶ Ἐφεσίους συκοφαντήσω. Πολιτεύσομαι οὐκ ἐν ἀνθρώποις, ἀλλ' ἐν θεοῖς, καὶ οὐχ ἱδρύσω ἄλλων βωμοὺς, οὐδὲ ἐμοὺς ἄλλοι. Οὐδὲ ἀπειλήσει μοι ἀσέβειαν Εὐθυκλῆς· ἀλλ' ἐγὼ ἐκείνῳ χολήν. Θαυμάζουσι πῶς ἀεὶ σκυθρωπὸς Ἡράκλειτος, οὐ θαυμάζουσι πῶς ἀεὶ πονηροὶ ἄνθρωποι. μικρὰ τῆς κακίας ὑπανεῖτε, κἀγὼ τάχα μειδιάσω,

καὶ

excessus spiritus suffocatio. Meus iam morbus humore abundat. Sed diuinum quid anima, quę ista temperat. Sanitas est quod principaliter hominem curat natura. Non enim prima artis ruditas eius opera repræsentat, sed posterior. Sed homines illam æmulati, scientias & ignorantias appellarunt. Ego si mundi naturam perspexi, perspexi etiam hominis; noui morbos, noui sanitatem, meipsum curabo, Deum imitabor, qui mundi inęqualitates adæquat, dum illas vni soli subiicit. Nō Heracletus morbo capietur, sed morbus Heracleti Sapiētiâ capietur. Et in vniuerso humida sicca, calida frigida redduntur. Nouit Sapiētia mea naturæ vias, nouit & morbi pausam. Vbi verò iam declinās corpus humore abūdauerit, in fatū incidet. Anima verò non incidet, nam illa immortalis sublimis in cœlū deuolabit. Ibi me cælestes domi suscipient, & Ephesios calumniabor: Et Rempub. geram, non inter homines, sed Deos, nec ego aliis aras erexere, sed mihi alii. Nec Euthyces mihi impietatem minabitur, sed ego illi iram. Mirantur cur semper morosus sit Heracletus, non mirantur cur homines semper mali sint. Paullùm tantum à malitiâ

καί τι πρᾳότερος ἐν τῇ νόσῳ νῦν ἐγενόμην, ὅτι οὐκ ἐντυγχάνω ἀνθρώποις, ἀλλὰ μόνος νοσῶ. Τάχα καὶ ψυχὴ μαντεύεται ἀπόλυσιν ἑαυτῆς ἤδη ποτὲ ἐκ τοῦ δεσμωτηρίου τούτου, καὶ σειομένου τοῦ σώματος ἐκκύπτουσα ἀναμιμνήσκεται τὰ πάτρια χωρία. Ἔνθεν κατελθοῦσα περιεβάλετο ῥέον σῶμα τεθνειὸς τοῦτο, ὃ δοκεῖ τοῖς ἄλλοις ἐν φλέγμασι, καὶ χολῇ, καὶ ἰχῶρι, καὶ αἵματι, καὶ νεύροις, καὶ ὀστοῖς, καὶ σάρκεσι πεπιλημένον. Εἰ γὰρ μὴ τὰ πάθη ἐσοφίζετο τὴν κόλασιν, οὐκ ἂν ἤδη πρόπαλαι καταλιπόντες τὸ σῶμα ἐξήλθομεν ἀπ' αὐτοῦ.

ΤΩΙ ΑΥΤΩΙ.

Συνῆλθον οἱ ἰατροὶ Ἀμφιδάμα, καὶ πάνυ προθύμως γε ἐπὶ τὴν ἐμὴν νόσον, οὔτε τέχνην, οὔτε φύσιν εἰδότες. Ἀλλὰ τὸ μὲν οὐδὲ ἐβούλοντο, τὸ δὲ ἐδόκουν, ἄμφω δὲ ἠγνόουν. Οὐδὲν πλέον ἢ κατεμάλαξαν μου τὴν γαστέρα ταῖς ἁφαῖς ὡς ἀσκόν.

vestra cessate, & ego statim ridebo; quãuis iam in ipso morbo mansuetior redditus sim, eo quod non conuersor cum hominibus, sed solus ægrotem. Nam & ipsa anima mihi vaticinatur fore vt breui ex hoc carcere corporis liberer; quæ extra hoc vndique conquassatum corpus oculos attollens, patrias sedes recordatur. Vnde illa descendens fluxum hoc & mortuum corpus induit, quod alii inhabitant in phlegmate, & bile, & tabo, & sanguine, & neruis, & ossibus, & carne coagulatum. Nisi enim corporis adfectus pœnas mihi quibus homines adficiunt, demõstrâssent, non iam olim corpus relinquentes illud deseruissemus.

EIDEM.

CONuenerunt medici, Amphidamas, & quidem sic satis promtè ob morbum meum, neque artis, neque naturæ periti: Et aliud quidem fieri nolebant, aliud optimũ illis factu videbatur: vtrumq; verò ignorabant. Nec aliud, nisi quod corpus meũ instar vtris inflati tactu mollirent, egêrunt.

Οἱ δὲ καὶ θεραπεύειν ἤθελον· ἀλλ' οὐκ ἐπέτρεψα. Ἀλλὰ λόγον αὐτοὺς πρότερον ᾔτουν τῆς νόσου, καὶ οὐκ ἔδοσαν, οὐδὲ περιεγένοντό μου, ἀλλὰ ἐγὼ αὐτῶν. Πῶς ἂν οὖν ἔφην δύνασθε αὐλητὰς τεχνίτας εἶναι ὑπὸ μὴ αὐλητοῦ ἡττημένοι; Ἐμαυτὸν ἰάσομαι, ἢ ὑμεῖς, ἐάν με διδάξητε, πῶς ἐπομβρίας αὐχμὸν ποιητέον. Οἱ δὲ οὐδὲ συνιόντες τὸ ἐρώτημα ἡσύχασαν, ἀπορούμενοι ἐπιστήμης ἰδίου. ἔγνων ὅτι καὶ τοὺς ἄλλους οὐκ αὐτοὶ, ἀλλὰ τύχη ἰάσατο. Οὗτοι ἀσεβοῦσιν Ἀμφιδάμα, καταψευδόμενοι τεχνῶν ἃς οὐκ ἔχουσι, καὶ θεραπεύοντες ἃ μὴ ἴσασι, καὶ ἀποκτιννύοντες ἀνθρώπους δι' ὀνόματος τέχνης, ἀδικοῦντες καὶ φύσιν καὶ τέχνην. Αἰσχρόν ἐστιν ὁμολογεῖν ἄγνοιαν, αἴσχρον ἐπιστήμην οὐκ ἔχοντα. Τί ἡδὺ αὐτοῖς τὸ ψεύδεσθαι; ἢ ἵνα δι' ἀπάτης χρηματίσωνται. Ἀμείνους ἂν ἦσαν μεταγνῶντες. Ἠλεοῦντο γοῦν ἄν. νῦν δὲ μισοῦνται, καὶ βλάπτοντες, καὶ ψευδόμενοι. Εὐτυχέστεραι αἱ ἄλλαι τέχναι, ταχέως ἐλέγχονται. Δυσελεγκτότερα τὰ κρείττω. Ἐλελήθεσάν με οἱ τοιοῦτοι ἐν τῇ πόλει.

εὐ-

Quidam etiam medicinā adhibere voluerunt, ſed non permiſi: Sed primum ab ipſis morbi rationem perquiſiui, quam non dederunt. Neque illi me curarunt, ſed ego illos: Et quomodo, inquam, poteritis artifices eſſe in tibiis canendis, ſi ab aliquo, qui tibicina non eſt ſuperemini? Meipſum curabo: aut vos, ſi me docueritis quomodo ex humiditate ſiccitas fiat. Illi verò cum non intelligerent quid quęrerem, tacebant, de propriâ ſuâ ſcientiâ dubitantes. Ibi verò cognoui, quod alios etiam non ipſi, ſed fortuna curaſſet. Impii illi, Amphidamas, qui artes, quas non habent, mentiuntur, & curant illos, quos non nôrunt, & homines ſub nomine artis interimunt, & naturam, & artem iniuria adficientes. Turpe profectò eſt ignorantiam profiteri, turpius autem ſcientiam, quam quis non habet. Quo ergo nomine mēdacio delectātur? an vt ꝑ fraudes diuitias adquirant. Meliores profectò forent, ſi illas expoſcerent. Nā aliquis illos miſeraretur. Iam verò odio habētur, vtpote ꝑnicioſi & mēdaces. Feliciores aliæ artes, quę citiꝰ reprehēſionē incurrūt: Nā quę meliora, minus reprehenſioni obnoxia eſſe debent.

οὐδεὶς αὐτῶν ἰατρὸς, ἀλλὰ πάντες ἀπατεῶνες, καὶ φαρμακες, σοφίσματα τέχνης ἀργυρίου πιπράσκοντες. Ἡρακλεόδωρον τὸν ἐμὸν θεῖον οὔτι ἀπέκτειναν, καὶ μισθὸν ἔλαβον, οἱ οὐκ ἐδυνήθησαν ἐμῆς νόσου λόγον εἰπεῖν, οὐδὲ ἐξ ἐπομβρίας πῶς ἂν αὐχμὸς γένοιτο. οὐκ ἴσασι ὅτι θεὸς ἐν κόσμῳ μεγάλα σώματα ἰατρεύει ἐπανισῶν αὐτῶν τὸ ἄμετρον, τὰ θρυπτόμενα ἑνοποιεῖ, τὰ ὀλισθήσαντα ὑποφθὰς πιέζει, συνάγει τὰ σκιδνάμενα, φαιδρύνει τὰ ἀπρεπῆ, κατείργει τὰ ληφθέντα, διώκει τὰ φεύγοντα· φωτὶ μὲν ἀναλάμπει τὸ ζοφερὸν, περατοῖ δὲ τὸ ἄπειρον· καὶ μορφὴν μὲν ἐπιβάλλει τοῖς ἀμόρφοις, ὄψεως δὲ ἀναπιμπλῆσι τὰ ἀναίσθητα. Διὰ πάσης γὰρ ἔρχεται τῆς οὐσίας, πλήττων, ἁρμοζόμενος, διαλύων, πηγνὺς, χέων, τὸ μὲν ξηρὸν εἰς ὑγρὸν τήκει, καὶ εἰς λύσιν αὐτὸ καθίστησι. καὶ λιβάδας μὲν ἐκθυμιᾷ, παχύνει δὲ χαλασθέντα τὸν ἀέρα· καὶ συνεχῶς τὰ μὲν ἄνωθεν διώκει, τὰ δὲ κάτωθεν ἱδρύει. ταῦτα κάμνοντος κόσμου θεραπεία. Τοῦτον ἐγὼ μιμήσομαι ἐν ἐμαυτῷ· τοῖς δὲ ἄλλοις χαίρειν λέγω.

ΕΡΜΟΔΩΡΩΙ.

Πυνθάνομαι Ἐφεσίους μέλλειν εἰσαγεῖσθαι νόμον κατ' ἐμοῦ ἀνομώτατον. Οὐδεὶς γὰρ νόμος

ἐφ'

Huiusmodi in ciuitate ad me veniebant. Nemo illorum medicus, omnes impostores, & deceptores, qui sophismata artis argenti vendunt. Illi Heracleodorum diuinũ illum amicum meum occiderunt & preciũ insuper acceperunt, qui mei morbi rationẽ reddere non poterant, nec quomodo ex humiditate siccitas fieret: & ignorant quod DEVS in mundo maxima corpora sanat, dum quicquid in illis inæquale adæquat, fracta coniungit, & casura præueniens reprimit, sparsa colligit inornata decorat, quæ relicta sunt propellit, & fugientia comprehendit. Tenebras luce illustrat, infinitum terminat, rudibus formam indit, quæ omni sensu carebant oculis implet. Nam omnẽ substantiam penetrat, percutiens, temperans, dissoluens, densans, fundens, aridum in humido liquefacit, idque vt soluatur disponit, & guttas quidem per vaporem extrahit, solutum aërem condensat. Et continuò alta deprimit, & infima erigit. Hæc sunt ægroti mundi remedia. Hunc ego in meipso imitabor, & alios valere iubeo.

HERMODORO.

AVdio Ephesios cõtra me legẽ laturos maximè illegitimã. Nulla enim de vno homine

ἐφ' ἑνὸς, ἀλλὰ κρίσις. Οὐκ ἴσασι Ἐφέσιοι ὅτι ἕτερος δικαστὴς νομοθέτου, καὶ τὸ δὲ ἄμεινον, ἐπεὶ ἀμαθέστερον πρὸς ἄδηλον τὸν μέλλοντα πράξειν. Ὁ δικάζων δὲ ὁρᾷ τὸν κρινόμενον ᾧ συνάπτεται τὸ πάθος. Ἴσασί με Ἑρμόδωρε συντεχνητεύοντα σοι τοὺς νόμους, κἀμὲ ἐλάσαι βούλονται, ἀλλ' οὐ πρότερόν γε ἢ ἐλέγξαι αὐτούς. Ἔτι ἄδικα ἐγνώκασι τὸν μὴ γελῶντα, καὶ πάντα μισανθρωποῦντα πρὸ ἡλίου δυόντος ἐξιέναι τῆς πόλεως. Τοῦτο νομοθετεῖν βουλεύονται· οὐδεὶς δέ ἐστιν ὁ μὴ γελῶν Ἑρμόδωρε, ἢ Ἡράκλειτος, ὥστε με ἐλαύνουσιν. ὦ ἄνθρωποι, οὐ θέλετε μαθεῖν διὰ τί ἀεὶ ἀγέλαστος; οὐ μισῶν ἀνθρώπους, ἀλλὰ κακίαν αὐτῶν. Οὕτω γράψατε τὸν νόμον, Εἴ τις μισεῖ κακίαν, ἐξίτω τῆς πόλεως, καὶ πρῶτος ἔξειμι. Φυγαδευθήσομαι οὐ πατρίδος, ἀλλὰ πονηρίας ἄσμενος. Μεταγράψατε τὸ διάταγμα. Εἰ δὲ ὁμολογεῖτε Ἐφεσίοις κακίαν εἶναι, καὶ ὑμᾶς μισῶ, πῶς οὐκ ἂν ἐγὼ δικαιότερος νομοθέτης εἴην, τοὺς ποιήσαντας Ἡράκλειτον διὰ πονηρίαν ἀγέλαστον ἐξεῖναι τοῦ ζῆν;

Μάλ-

homine lex sed iudicium: Neque norunt Ephesii, quod aliud iudex, aliud legiſlator. Et hoc melius, cum ſtolidum ſit contra illum de quo obſcurum eſt, quid velit agere. Iudex verò accuſatum intuetur, cui crimen imputatur. At verò nôrunt illi Hermodore, quod vnà tecum leges condiderim: hinc me patria eiicere volunt, ſed non prius, quàm ipſas leges reprehenderint. Deinde iniuſtè decreuerunt hominem non ridentem, & per omnia hominum oſorem, antequam Sol occidat, ciuitate egredi. Huiuſmodi legum condendarum conſilium inierunt. Nemo autem eſt qui non rideat Hermodore, præter Heracletum, quod me ita expellant. O Homines, nonne aliquando diſcere vultis cur nunquam rideam? Non quod homines oderim, ſed vitia illorum. Ita legem conſcribite: Si quis malitiam oderit, ciuitate egrediatur: Et ego primus exibo. Et lubens, non è patriâ, ſed malitiâ exſulabo. Corrigite ergo edictum veſtrum. Si verò confitemini quod Epheſiis malitia adſit, & vos oderim, quî ego non melior legiſlator ſim, ſi vos inquam oderim, qui per malitiam veſtram efficitis, vt Heracletus nunquam ridens è vitâ migret?

Qui

Μᾶλλον δὲ μυρίαις ζημιοῦσθαι, εἰ πλέον ἀνιᾶσθε ἀργυρίῳ κολαζόμενοι. Τοῦτο ὑμῶν ἐστὶ φυγή, τοῦτο θάνατος. Ἡ δίκη κατ' ἐμὲ ἀφελόμενοι ὁ θεὸς ἔδωκε, καὶ φυγαδεύετέ με ἀδίκως. Ἢ τοῦτο ὑμᾶς πρῶτον ἀγαπήσω, ὅτι μου τὸ ἥμερον ἐξεκόψατε, καὶ οὐ παύεσθε ἐπαγωνιζόμενοι νόμοις καὶ φυγαδίαις; Ἐν γὰρ τῇ πόλει μένων οὐ πεφυγάδευμαι ἀφ' ὑμῶν; τίνι συμμοιχεύω; τίνι συμμιαιφονῶ; τίνι συμμεθύω; τίνι συμφθείρομαι; οὐ φθείρω, οὐκ ἀδικῶ οὐδένα τῶν ἁπάντων. Μόνος εἰμὶ ἐν τῇ πόλει, ἐρημίαν αὐτὴν πεποιήκατε διὰ κακίας. Ἡ ἀγορὰ ὑμῶν Ἡράκλειτον ἀγαθὸν ποιεῖ; οὐκ· ἀλλὰ Ἡράκλειτος ὑμᾶς, πόλιν. ἀλλ' οὐκ ἐθέλετε. ἐγὼ μὲν βούλομαι, καὶ νόμος εἰμὶ ἄλλων, εἷς ὢν οὐκ ἀρκῶ πόλιν κολάζειν. Θαυμάζετε εἰ μηδέπω γελῶ; ἐγὼ δὲ τοὺς γελῶντας ὅτι ἀδικοῦντες χαίρουσι, σκυθρωπάζειν δέον οὐ δικαιοπραγοῦντας. Δότε μοι καιρὸν γέλωτος ἐν εἰρήνῃ, ὥστε μὴ ἐπὶ τὰ δικαστήρια στρατεύεσθαι, ἐν ταῖς γλώτταις ἔχετε τὰ ὅπλα, ἀπεστερηκότες χρήματα, γυναῖκας φθεί-

Qui ipsi tamen infinitis rationibus magis punimini, si magis me excruciamini argento puniti. Hoc vestrum est exilium, hoc mors. Iniuriâ me adficitis dũ aufertis quæ DEVS dedit, & iniustè me vrbe eiicitis. An verò hoc ipso primùm vos amabo, quod desiderium ciuitatis mihi absciderítis, nec desinatis legibus & exsiliis contendere? Nam in ciuitate si mansero nonne à vobis itidem exsilio múlctor? Cum quo enim vnà moechor? cum quo cæde manus cruento? cum quo me inebrio? cum quo vnà corrumpor? Nullum omnium corrumpo, nec iniuriâ adficio. Solus sum in ciuitate, & hanc solitudinem malitiâ vestrâ effecistis. An forum vestrum Heracletum meliorem reddit? Minimè. Sed Heracletus vos, ciuitatem. Sed non vultis: Ego quidẽ volo, & aliis lex sum, & vnus cum sim, ciuitatem punire non possum. Demiramini vos quod ego nunquam rideam: ego verò demiror illos, qui rident, quod alios iniuriá adficientes gaudent, cũ cõtristari oportebat: nõ illos qui iustè agunt. Date mihi in pace occasionem ridendi, vt in iudiciis non concertetis, dum in linguis arma habetis, opes auferentes, feminas corrumpentes, amicos

venenis

φθείραντες, φίλους φαρμακεύσαντες, ἱεροσυλήσαντες, προαγωγεύσαντες ὄχλοις, ὀρθέντες ἄπιστοι, τυμπανίσαντες. Ἄλλος ἄλλου πλήρης κακοῦ. Ταῦτα γελάσω ὁρῶν ἀνθρώπους ποιοῦντας ἐσθῆτα, καὶ γένεια, καὶ κεφαλῆς πόνους ἀτημελήτους; ἢ γυναῖκα φαρμακέως ἐπειλημμένην τέκνου; ἢ μειράκια τῆς οὐσίας ἐκβιβρωμένα; ἢ πολίτην γαμετῆς ἀφῃρημένον; ἢ κόρην βίᾳ διαπαρθενευθεῖσαν ἐν παννυχίσιν; ἢ ἑταίραν οὔπω γυναῖκα καὶ γυναικῶν ἔχουσαν πάθη; ἢ διὰ ἀσέλγειαν νεανίσκον ἕνα πόλεως ἐραστὴν ὅλης; ἢ τὰς τῶν ἐλαιῶν φθορὰς ἐν μύροις; ἢ τοὺς ἐν ξυνδείπνοις γινομένους διὰ δακτύλων πλείονας; ἢ τὰς δι' ἐδεσμάτων πολυτελείας, καὶ γαστέρας ῥεούσας; ἢ τοὺς ἐπὶ σκηνῆς ἀγωνοθετουμένους δήμους τὰ μεγάλα δίκαια; Ἀφήσει δέ μου τὴν ὄψιν δάκρυ τῇ χυθῆναι, ὕστερα πονηρίας τεταγμένη; ἢ τοὺς ἀληθινοὺς ὑμῶν πολέμους γελάσω, ὅτε προφάσεις ἀδικημάτων ποιησάμενοι καταμιαιφονεῖσθε δύστηνοι, ἐξ ἀνθρώπων θηρία γεγονότες, αὐλοῖς καὶ μάστιξι διὰ μουσικῆς εἰς ἄμουσα πάθη παροξυνόμενοι; Σίδηρος δὲ ἀρότρων καὶ γεωργίας δικαιότερον ὄργανον σφαγῆς καὶ θανάτων ηὐτρέπισται.

Ὑβρί-

venenis necantes, ſacrilegia perpetrantes, vos populo proſtituentes, infideles, tympana pulſantes: Alius aliâ malitiâ plen9. An ne ridebo, cum videam homines talia facere? Veſtes, & barbam, & capitis labores neglectos? An mulierem quæ venenum filio præparat? An pueros ſuis facultatibus eiectos? an ciuem qui vxore ſuâ priuatus eſt? an virginem vi in pernoctationibus conſtupratam? aut meretricem, quæ femina nondum eſt, & feminarum tamen adfectibus agitatur? aut per laſciuiam vnum puerum vniuerſæ ciuitatis amatorem? an cum oleum vnguenti corrũpitur? an illos, qui in cõmeſſationibus per ſedis vitia mortui ſunt? an illos luxus in ferculis, & fluentes ventres? aut qui in theatris ad pugnandum producuntur populi? An faciem meã exporrigi virtus permittet malitiæ poſtpoſita? An vera veſtra bella ridebo, cum iniuriarũ cauſſas confingentes vos crudeles cædibus polluitis, ex hominib9 beſtiæ facti, dum tibiis & crepitaculis per Muſicã cõſonantiã in diſſonantes adfectus excitamini? Ferrum verò, aratro & agriculturę debitũ inſtrumentum cædis & mortis pręparatur.

Ὑβρίζεται δι' ὑμῶν θεὸς, Ἀθηνᾶ πολεμίστρια καὶ Ἄρης Ἐνυάλιος καλούμενος. Φάλαγγας δὲ ἀντιστήσαντες ἄνθρωποι κατ' ἀνθρώπων ἀλλήλων σφαγὰς εὔχεσθε, ὡς λειποτάκτας τοὺς μὴ μιαιφονοῦντας τιμωρεύμενοι, καὶ ὡς ἀριστέας τοὺς ἐμπλεονάσαντας αἵματι τιμῶντες. Λέοντες δὲ οὐχ ὁπλίζονται κατ' ἀλλήλων, οὐδὲ ξίφος ἀναλαμβάνουσιν οἱ ἵπποι, οὐδὲ τεθωρακισμένον ἴδοις ἀετὸν ἐπ' ἀετῷ, οὐδὲν ἄλλο ἔχει μάχης ὄργανον, ἀλλ' ἑκάστῳ τὰ μέρη καὶ ὅπλα· τοῖς μὲν κέρατα τὰ ὅπλα, τοῖς δὲ ῥύγχη, τοῖς δὲ πτερά, τοῖς δὲ τάχος, ἄλλοις μέγεθος, ἄλλοις δὲ ὀλιγότης, οἷς δὲ νῆξις, πολλοῖς δὲ πνεῦμα. Οὐδὲν ξίφος ἄλογα ποιεῖ ζῶα χαίρειν, ὁρῶντα φυλαττόμενον ἐν αὐτοῖς φύσεως νόμον. Ἀλλ' οὐκ ἐν ἀνθρώποις· Μᾶλλον δὲ τοῦτο πλεῖον ἂν εἴη παράβασις, ἐν κρείττοσι τὸ ἀβέβαιον. Τέλος δὲ πολέμων τί ὑμῖν εὐκτέον ἄρα; Ἢ δι' ἐκεῖνο παύσετέ με κατηφείας: Πόθεν; οὐχὶ δὲ πλέον ὁμοφύλων σφῶν; καὶ δενδροτομουμένη καὶ ἀναρπαζομένη πόλις,

καὶ

Dii verò veſtri contumeliâ à vobis adficiũtur, Pallas belli præſes, & Mars bellicus appellatus. Dum autem homines contra homines phalanges inſtruitis, alter alterius trucidationes exoptat; illos qui minus cæde manus cruentant, tanqã aciei deſertores punientes, cõtra tanq̃ bello optimos ſanguinarios laudãtes. Leones verò contra leones nõ armantur, neç equi gladios aſſumũt, nec aquilam in aquilã alterã thorace indutam videas; nullum aliud animal pugnæ inſtrumentum habet, ſed vnicuique ſua mẽbra etiam arma ſunt. Aliquibus cornua arma ſunt, quibuſdam roſtra, quibuſdam alæ, quibuſdam velocitas, aliis magnitudo, aliis paruitas, quibuſdam celeritas, quibuſdam natatio, multis etiam ſpiritus. Nullo gladio bruta animalia delectantur, quæ in ſemetipſis naturæ legem obſeruari vidẽt, ſed non in hominibus. Id quod longè maius peccatum fuerit. Nam in prçſtantioribus eiuſmodi inconſtantia deprehenditur. At qualem belli finem vos vobis exoptaſtis? An ꝑ illũ mœrori meo quidẽ dabitis? Quomodo? Nõne magis adhuc, cũ omnes eiuſdẽ generis ſitis? Depopulata & ſpoliata ciuitas, ſenect⁹ cõuitiis petita, mulieres abreptç,

καὶ γῆρας περιπηλακιζόμενον, καὶ γυναῖκες ἁρπαζόμεναι, καὶ τέκνα ἐξ ἀγκαλῶν ἀποσπώμενα, καὶ θάλαμοι διαφθειρόμενοι, καὶ παρθένοι παλλακευόμεναι, καὶ μειράκια θηλυνόμενα, καὶ ἐλεύθεροι σιδηροδετούμενοι, καὶ ναοὶ θεῶν κατασπώμενοι, καὶ Ἡρῷα δαιμόνων κατορυττόμενα, καὶ Παιᾶνες ἀνοσίων ἔργων, καὶ χαριστήρια θεοῖς ἀδικίας. Ταῦτα ἀγελάστως ἐν εἰρήνῃ πολεμεῖτε διὰ λόγων, ἐν πολέμῳ πολιτεύεσθε διὰ σιδήρου, ἁρπάζετε τὸ δίκαιον ἐν ξίφεσι. ἑρμόδωρος ἐλαύνεται νόμους γράφων· Ἡράκλειτος ἐλαύνεται ἀσεβείας, αἱ πόλεις ἔρημοι καλοκαγαθίας, αἱ ἐρημίαι πρὸς τὸ ἀδικεῖν. Ὄχλοι τείχη ἔστησεν, ἀνθρώπων σύμβολα πονηρίας, ἀποκλείοντα τὴν βίαν ὑμῶν. οἰκίαι περιβέβληνται πᾶσιν, ἕτερα τείχη πλημμελείας. οἱ ἔνδον πολέμιοι, ἀλλὰ πολῖται· οἱ ἐκτὸς πολέμιοι, ἀλλὰ ξένοι. πάντες ἐχθροί, οὐδένες φίλοι. Δύναμαι γελάσαι ἐχθροὺς ὁρῶν τοσούτους; Τὸν ἀλλότριον πλοῦτον ἴδιον οἴεσθε· Τὰς ἀλλοτρίας γυναῖκας ἰδίας νομίζετε· τοὺς ἐλευθέρους ἀνδραποδίζετε, τὰ ζῶντα κατεσθίετε, τοὺς νόμους παραβαίνετε, παρανομίας νομοθετεῖτε, πάντα βιάζεσθε, ἃ μὴ πεφύκατε· τὰ μάλιστα δοκοῦντα ὑμῖν δικαιοσύνης εἶναι σύμβολα.

pueri ex vlnis parentum ablati, thalami corrupti, virgines ſcorta agentes, pueri effeminati, liberi ferro vincti, templa Deorum expilata, & monumenta heroum effoſſa, & Pæanes in turpiſſimis operibus, & iniuſtitiæ donaria Diis oblata. Hęc vos ſine riſu in pace verbis depugnatis, in bello Rempub. ferro adminiſtratis, & iuſtitiam ferro rapitis. Hermodorus quod leges ſcripſerit exilio mulctatur: Heracletus quaſi impius vrbe eiicitur: Vrbes omni bonitate vacuæ, & iniuſtitia omnia vaſtat. Homines muri ſunt, malitiæ hominum ſigna, quæ violentiam veſtram concludunt: Vnicuique dein domus circundata alii peccati muri. Qui intus ſunt hoſtes ſunt, ſed ciues: qui extra ſunt, hoſtes ſunt, ſed hoſpites. omnes hoſtes, nemo amicus. Poſſumne ridere tot hoſtes intuitus? Alienas diuitias proprias exiſtimatis, alienas vxores proprias ducitis, homines liberos mancipia redditis, & viuentes deuoratis, leges tranſgredimini, iniuſtas leges conditis, omnia vi agitis, quæ etiam cōtra naturā ſunt, & vobis tamē ipſius iuſtitiæ opera eſſe videntur.

ΗΡΑΚΛΕΙΤΟΥ

Οἱ νόμοι ἀδικίας εἰσὶ τεκμήριον. Εἰ γὰρ μὴ ἦσαν, αἰέδην ἂν ἐπορεύεσθε. Νῦν δὲ καὶ μικρὸν ἐπιστομίζεσθε φόβῳ κολάσεως κατέχεσθε εἰς πᾶσαν ἀδικίαν.

ΗΡΑΚΛΕΙΤΟΣ ΕΡΜΟΔΩΡῼ.

Δήλου μοι Ἑρμόδωρε ποτε ἀπαίρειν κέκεκας εἰς Ἰταλίαν. δέξαιντό σε οἱ ἐκείνης τῆς χώρας θεοὶ καὶ δαίμονες ἡδέως. Ὄναρ ἐδόκουν τοῖς σοῖς νόμοις τὰ παρὰ πάσης τῆς οἰκουμένης διαδήματα προσιέναι, καὶ κατὰ τὸ ἔθος τῶν Περσῶν ἐγκλείοντας τὸ στόμα προσκυνεῖν αὐτούς. οἱ δὲ σεμνῶς πάνυ καθεισήκεσαν. Προσκυνήσουσί σε Ἐφέσιοι μηκέτι ὄντα, ὅταν οἱ σοὶ νόμοι πᾶσιν ἐπιπέτλωσι, καὶ τότε χρήσονται αὐτοῖς ἀναγκαζόμενοι. Θεὸς γὰρ ἐκείνους ἀφείλετο ἡγεμονίαν, καὶ ἑαυτοὺς ἐνόμισαν ἀξίους δουλεύειν. Τοῦτο μεμάθηκα καὶ ἐκ πατέρων. Ὅλη Ἀσία κτῆμα ἐγένετο βασιλέως, καὶ πάντες Ἐφέσιοι λάφυρον. Ἀήθεις εἰσὶν ἐλευθερίας ἀληθοῦς τοῦ ἄρχειν· καὶ νῦν ὡς τὸ εἰκὸς ὑπακούσονται κελευόμενοι. οἱ μὴ πεισθέντες οἰμώξονται.

καὶ

Leges enim iniuſtitię indicia ſunt. Si enim non eſſent ſine pudore, liberè paſſim euagaremini. Iam verò paullùm adhuc pœnę metu reuocamini, ne furioſo impetu in omnem malitiam efferamini.

HERACLETVS HERMODORO.

SIgnifica mihi Hermodore, quando in Italiam diſcedere iudicâris. Accipiant te illius regionis Dii & Dæmones lubentes. Nugarum inſtar tuis legibus viſum eſt vniuerſi orbis diademata adire, & ex Perſarum more ore obuoluto reges adorare. Illæ verò venuſtè admodum conſtitutæ ſunt. Epheſii te, cum mortuus non eris amplius, adorabunt, vbi tuæ leges omnibus hominibus impetrabunt, & tunc illis coacti vtentur. DEVS enim principatum ab illis abſtulit, & qui ſeruirent dignos iudicauit. Hoc ipſum ex patribus meis didici: Vniuerſa Aſia regis poſſeſſio euaſit, & omnes Epheſii eius ſpolium. Inſolentes ſunt veræ libertatis imperandi, & nunc, vt veriſimile eſt, vbi iuſſi fuerint obtemperabunt: & qui nondum calamitate preſſi plorabunt.

καὶ μέμφονται θεοὺς ἄνθρωποι, ὅτι αὐτοὺς οὐ πλουτίζουσι ἀγαθά, οὐ μέμφονται ἴδιον ἦθος ἀφροσύνης; τυφλῶν ἐστὶ μὴ δέξασθαι ἃ διδῶσι χρηστὰ δαίμων. Σιβύλλα ἐν πολλοῖς καὶ τοῦτο ἐφράσθη·

Ἐξ Ἰάδος χώρης ἥξειν Ἰταλίηνσι.

Εἶδέ σε πρὸ τούτου αἰῶνος Ἑρμόδωρε ἡ Σιβύλλα ἐκείνη, καὶ τότε ἦσθα. Ἐφέσιοι δὲ οὐδὲ νῦν βούλονται ὁρᾶν, ὃν διὰ θεοφορουμένης γυναικὸς ἀλήθεια ἔβλεπε. Σοφὸς μεμαρτύρησαι Ἑρμόδωρε. Ἐφέσιοι δὲ ἀντιλέγουσι θεοῦ μαρτυρία. Ἀποτίσονται ἑαυτῶν ὕβριν, καὶ νῦν ἀποτίνουσι, γνώμης ἀναπιμπλάντες ἡμᾶς κακῆς. Οὐκ ἀφαιρούμενος πλοῦτον κολάζει θεός· ἀλλὰ καὶ μᾶλλον δίδωσι πονηροῖς, ἵν' ἔχοντες δι' ὧν ἁμαρτάνουσιν ἐλεγχθήσωνται, καὶ πλουσιάζοντες σκηνοβατῶσιν αὐτῶν τὴν μοχθηρίαν. Ἡ δ' ἀπορία παρὰ κάλυμμά ἐστιν. Μὴ ἐπιλίπῃ ὑμᾶς τύχη, ἵνα ὀνειδίζησθε πονηρευόμενοι. Οὗτοι μὲν χαιρόντων. Σὺ δέ μοι δήλου τὴν καιρὸν τῆς ἐξόδου, πάντως ἐντυχεῖν σοι βούλομαι, καὶ πεί-

Quid autem Deos homines accuſant, quod ſe bonis non ditent, & proprios ſtultitię mores non accuſant? Cæcorum eſt bona non accipere quæ DEVS offert. Sibylla vt plurima, hoc quoque vaticinata eſt:

Venturum Ioniâ ſapientem ex vrbe Latinis.

Vidit illa Sibylla te, Hermodore, tanto tempore ante, & tum temporis fuiſti: Epheſii verò ne nunc quidem videre volunt, quem per mulierem numine adflatam veritas vidit. Sapiens Dei teſtimonio probaris. Epheſii verò DEI teſtimonio cōtradicunt. Sed huius ſuę contumelię pœnas luent, & iam luent, dum malâ mente pleni ſunt. Non DEVS punit vbi diuitias aufert, ſed illas malis potius indulget, vt habentes per quæ peccant, etiam puniantur, & diuites ſuam nequitiam omnibus notam faciant. Paupertas verò hanc tegit. Non deſtituit vos fortuna, vt mali cum ſitis contumeliâ adficiamini. Et hi quidem ſermones diſcedentium. Tu verò ſignifica mihi profectionis tuæ tēpus,

περὶ γοῦν ἄλλων πάνυ συχνῶν, καὶ περὶ αὐτῶν νόμων βραχέα εἰπεῖν. Ἔγραφον δ' ἂν αὐτὰ, εἰ μὴ περὶ παντὸς ἐποιούμην ἀπόρρητα μεῖναι. Οὐδὲ δὲ οὕτω σιωπᾶται, ὡς ἐνὶ λαλῶν εἷς, καὶ ἔτι μᾶλλον Ἡράκλειτος Ἑρμοδώρῳ. Πολλοὶ οὐ διαφέρουσι κεραμέων σαθρῶν, ὡς μηδὲν στέγειν δύνασθαι, ἀλλ' ὑπὸ γλωσσαλγίας διαρρεῖν. Ἀθηναῖοι ὄντες αὐτόχθονες ἔγνωσαν φύσιν ἀνθρώπων, ὅτι γινόμενοι ἐκ γῆς, ἔσθ' ὅτε διερρωγότα ἔχουσι νοῦν. Τούτους ἐπαίδευσαν φυλακὴν ἀπορρήτων διὰ μυστηρίων, ἵν' ὡς φόβῳ σιγῶσιν, ἀλλ' οὐ κρίσει. Καὶ μηκέτι χαλεπὸν ἦ μελετῆσαι τῇ ψυχῇ σιωπᾶν.

Τῶν Ἡρακλείτου Ἐπιστολῶν τέλος.

nam omnino prius te conueniſſe volo, vt tum de multis aliis, tum verò de ipſis legibus ad te pauca dicam. Scripſiſſem tibi illa, niſi omnino cenſuiſſem vt in occulto maneant. Nihil autem tantâ fide ſiletur, quàm ſi quid vnus vni dicat, maximè verò ſi Heracletus Hermodoro. Multi verò nihil differunt à pertuſis vaſibus, ita vt nihil continere poſſint, ſed ob garrulitatem perfluāt. Athenienſes è ſolo ſuæ patriæ nati, nôrunt naturam hominum, quod è terrâ nati eſſent, etiam interdum pertuſam, & corruptam mentem habent. Illos autem arcanorum cuſtodiam per Myſteria, vt tanquā metu taceant, ſi minus iudicio, nec difficile amplius ſit animæ tacendi facultatem excogitare.

Heracleti Epiſtolarum

FINIS.



ΕΠΙΣΤΟΛΑΙ ΔΙΟΓΕΝΟΥΣ

ΤΟΥ ΚΥΝΙΚΟΥ.

α΄.

ΣΙΝΩΠΕΥΣΙ.



Ὑμεῖς μὲν ἐμοῦ φυγὴν κατεψηφίσασθε· ἐγὼ δὲ ὑμῶν μονήν. Οἰκήσατε γοῦν διὰ τοῦτο, ὑμεῖς μὲν Σινώπην, ἐγὼ δὲ Ἀθήνας· τοῦτ' ἐστίν, ὑμεῖς μὲν μετὰ τῶν ἐμπόρων, ἐγὼ δὲ μετὰ Σόλωνος, καὶ τῶν τὴν ἑλλάδα ἐλευθερωκότων ἀπὸ τῶν Μηδικῶν. Καὶ ὑμεῖς μὲν ἡνιόχοις καὶ ἀχαιοῖς χρώμενοι, ἐκ τοῦ ἰχθροῦ γάμους ἔλλησιν· ἐγὼ δὲ Δελφοῖς, καὶ Ἠλείοις, μεθ' ὧν καὶ οἱ θεοὶ πολιτεύονται, ἀλλ' ὤφελε τοῦτο μὴ νῦν ὑμῖν δόξαι, ἀλλ' ἔτι πάλαι, καὶ ἐπὶ τοῦ πατρὸς Ἱκέτου. Νυνὶ δὲ ἓν τοῦτο δέδοικα, μὴ διὰ τὴν πατρίδα ἀπιστηθῶ μέτριος εἶναι. Τὸ μὲν οὖν πρὸς ὑμῶν

μὲ



EPISTOLAE DIOGENIS CYNICI,

Interprete Eilhardo L. bino.

I

SINOPENSIBVS.



Vos quidem exilio me mulctastis, ego verò vos patria. Habitate igitur propterea vos quidem Sinopam, ego verò Athenas: hoc est, vos quidem cum mercatoribus, ego verò cum Solone, & illis adeo qui Greciam in libertatem vindicarunt à Medis. Vos inquam aurigis & Achiuis vtentes, genere hominum infesto Græcis: Ego verò Delphis & Eleis, cũ quibus etiam Dij Resp. administrant. Verum oportuit hoc nõ iam demum de me vobis videri, sed iam olim etiam de patre Hiceta. Iam verò vnicũ hoc vereor, ne propter patriam minus modestus esse credar. Quod igitur à vobis aufugerim

με φυγαδευθῆναι συνηγορεῖ, καὶ πιστεύω αὐτῷ μᾶλλον ἢ ἑτέροις. Κρεῖττον γὰρ παραπολὺ διαβάλλεσθαι πρὸς ὑμῶν, ἢ ἐπαινεῖσθαι. ὅμως μέντοι δέδοικα τοῦτο, μή με ὁ κοινὸς περὶ πατρίδος λόγος βλάψῃ· ἄλλου δέ τινος οὐδὲ λόγος. Κρεῖττον γὰρ πουδήποτε οἰκεῖν, ἢ σὺν ὑμῖν οὕτως ἡμῖν προσενεχθεῖσιν.

ἈΝΤΙΣΘΕ'ΝΕΙ

β'.

Ἀνέβαινον ἐξ ἄστυ ἐκ Πειραιῶς, καὶ περιτυγχάνει μειράκια ἄττα θρυπτόμενα, ἀπὸ συμποσίου τινὸς ἐγηγερμένα, καὶ ἐν σφίσιν αὐτοῖς, ἐπεὶ ἀγχοῦ ἐγενόμην, Ἀνάγωμεν, ἔλεγον, ἀπὸ τοῦ κυνός. Κἀγὼ, ἐπεὶ τοῦτο ἤκουσα· θαρρεῖτε ἔφην, οὗτος ὁ κύων τεῦτλα οὐ δάκνει. Οἱ δ', ὡς τοῦτο ἔλεξα, ἐπαύσαντο ἀλύοντες, καὶ τοὺς στεφάνους οὓς εἶχον περὶ τῇ κεφαλῇ καὶ τῷ τραχήλῳ διαρρήξαντες ἐξέβαλον, καὶ τὰς χλανίδας εὐκόσμως περιεβάλλοντο, καὶ ἥσυχοι εὖ μάλα ἕως εἰς ἄστυ ἠκολούθουν, ἐπακροώμενοι τῶν λόγων, οὓς πρὸς ἐμαυτὸν διεξῄειν.

ἹΠΠΑΡΧΙ'ΑΙ.

γ'.

Ἄγαμαί σε ἐπιθυμίας, ὅτι τῆς φιλοσοφίας ὠρέχθης γυνὴ οὖσα, καὶ ὅτι τῆς ἡμετέρας αἱρέσεως ἐγενήθης,

aufugerim adprobat, & ipsi à me maior fides, quàm alii. Longe quippe præstabilius vituperari à vobis quam laudari. Attamen & hoc vereor, ne mihi communis de patria sermo noceat; alius cuiuspiam nulla mihi cura. Satius enim vbiuis locorum degere quàm vobiscum, sic erga nos adfectis.

ANTISTHENI.

II

ASscendebam in vrbem ex Piræo, & obuiam fiunt mihi adolescentuli quidam delicati, è conuiuio quodam congregati: & inter se, cum propius accessissem, Recedamus, inquiunt, à Cane. At ego cum hoc audissem, Bono animo este, inquã, hic Canis betam non mordet. Hi verò cum hoc dixissem, quiescebant consternati, & serta quæ habebant circa caput & collum discerpentes abiiciebant, & lænas suas decorè circumiiciebant, & taciti admodum in ciuitatem vsque sequebantur, auscultantes sermones, quos ad memetipsum emittebam.

HIPPARCHIAE.

III

ADmiror te propter illud desiderium, & quod Philosophiam appetieris fœmina cum sis: & quod nostræ sectæ facta

ΔΙΟΓΕ'ΝΟΥΣ.

ἢν διὰ τί αὐστηρὸν καὶ οἱ ἄνδρες κατεπλάγησαν. ἀλλ᾽ ὅπως καὶ τέλος ἐπιθῇς τῇ ἀρχῇ σπούδασον. ἐπιθήσεις εὖ οἶδα, εἰ Κράτητός τε τοῦ συνετοῦ μὴ ἀπολίποιο, ἀμῦν τε τοῖς εὐεργέταις τῆς φιλοσοφίας θαμινῶς ἐπιστέλλοις. Δύνανται γὰρ ἐπιστολαὶ πολλὰ, καὶ οὐχ ἧττονα πρὸς παρόντας διαλέξεως.

ΑΝΤΙΠΑΤΡΩι.

δ'.

ΜΗ' μέμφου με, ὅτι σοι μεταπεμπομένῳ ἡμᾶς ἐπὶ Μακεδονίαν οὐκ ἐπείθημεν, οὐδ᾽ ὅτι τοὺς ἀθηναίησιν ἅλας προὐκρίναμεν τῆς παρὰ σοῦ τραπέζης. οὐ γὰρ δι᾽ ὑπεροψίαν τοῦτ᾽ ἐπράξαμεν, ἀλλ᾽ οὐδὲ διὰ φιλοδοξίαν, δι᾽ ἣν τάχ᾽ ἴσως ἕτεροι ἂν ἐποίησαν, ἵνα τινὲς τοῖς πολλοῖς μεγάλοι δόξωσιν, βασιλεῦσι δυνάμενοι ἀντιλέγειν. Συγγίνωσκε οὖν. Καὶ γὰρ ἂν εἰ πρόβατα ἦμεν, συνέγνως ἂν μὴ πεισθεῖσιν, ὅτι οὐκ ἦν προβάτῳ τε τροφὴ, καὶ βασιλεῦσιν ἡ αὐτή. Φυλακῇ οὖν τῆς οὐσίας μᾶλλον ἀντείπαμέν σοι, καὶ οὐχ ὑπεροψίαις. Ἔα οὖν ἕκαστον ὅπου δύναται ζῆν. βασιλικὸν γὰρ τοῦτο, καὶ οὐ τὸ ἕτερον.

ΠΕΡ-

facta sis. quàm ob austeritatem viri etiam abhorruerunt. Verum vt etiam finem principio imponas, da operam. Impones autem sat scio, si & Cratetem coniugem non deserueris, & nobis benè de Philosophia meritis, crebro literas miseris. Multum enim valent literæ, nec minora quàm ad præsentes colloquium.

ANTIPATRO.

IV.

NE mihi vitio vertas, quod tibi accersenti nos in Macedoniam non paruerimus, neue quod salem, qui nobis Athenis, prætulerimus apud te mensæ. Non enim ex contemtu hoc fecimus, at neque ex ambitione; qua adducti alii forte fecerunt, vt magni quidam multis videantur, regibus contradicere valentes. Proinde ignosce. Etenim si oues foremus, vtique veniam dares non obtemperantibus, quod non idem alimentum sit oui, & regibus. Custodia igitur facultatum potius contradiximus tibi, & non contemtu. Quare permitte vnumquem vbi potest viuere. Regiũ enim hoc, & non alterum.

I PER-

ΠΕΡΔΙΚΚΑ.

έ.

Εἰ μὲν ταῖς δόξαις ἤδη πολεμεῖς· λέγω δὲ τοῖς ἰσχυροτέροις ἐχθροῖς, καὶ πλείονα καταβλάπτουσί σε Θρακῶν τε καὶ Παιόνων· καταστρεφόμενος τὰ τῶν ἀνθρώπων πάθη, μεταπέμπου με. Δύναμαι γὰρ ἐς τὸν πρὸς αὐτὰ πόλεμον καὶ στρατηγεῖν. Εἰ δ' ἔτι σοι τὰ πρὸς ἀνθρώπους ἔργα καταλείπεται, καὶ τούτου τοῦ πολέμου σχεδὸν αἰσθαίη, ἔα μὲν ἡμᾶς Ἀθήνησι καθέζεσθαι· μεταπέμπου δὲ τοὺς Ἀλεξάνδρου στρατιώτας, οἷς κἀκεῖνος ἐπικούροις χρώμενος Ἰλλυριοὺς καὶ Σκύθας ὑπέταξεν.

ΚΡΑΤΗΤΙ.

ϛ'.

Χωρισθέντος σου εἰς Θήβας, ἀνέβαινον ἐκ Πειραιοῦ ὑπὸ μέσην ἡμέραν· καὶ διὰ τοῦτο λαμβάνει με δίψος καρτερόν. Ὥρμησα οὖν ἐπὶ τῆς Πανόπου κρήνην. Καὶ ἕως ἐγὼ τὸ ποτήριον ἐκ τῆς πήρας ἐξῄρουν, ἧκέ τις Θέων θεράπων, τῶν τὴν χώραν ἐργαζομένων, καὶ συνάψας κοίλας τὰς χεῖρας, ἠρύετο ἀπὸ τῆς κρήνης, καὶ οὕτως ἔπινεν. Καὶ ἐγὼ, δόξαν

μοι

PERDICCAE.

V

SIquidem cum opinionibus iam tibi bellum, dico autem fortioribus hostibus, & plus te lædentibus quam Thraces & Pæones, subigens humanos adfectus, me accerse: Valeo enim in contra illos pugnâ & bello gerendo. Sin adhuc cum hominibus negotia tibi restant, & hoc bellum iam ferme sentis, sinas nos quidem Athenis considere, accerse verò Alexandri milites, quibus & ille Epicuris vsus Illyrios & Scythas subiugauit.

CRATETI.

VI.

CVm tu Thebas secederes, ascendebam ex Piræo sub meridiem, & ideo sitis me inuasit vehemens. Quare festinò propero ad Panopis fontem; & interea dum poculum ex perâ eximo, venit aliquis Theon famulus, ex illis qui agrum colebant, & complicans cauas manus, hauriebat ex fonte, & sic bibebat. Ibi ego quod

μοι ποτηρίου σοφώτερον εἶναι, οὐκ ᾔδειν διδασκάλῳ αὐτῷ τῶν καλῶν χρῆσθαι. ἀπορρίψας οὖν τὸ ποτήριον, ὃ εἶχον, καί σοι εὑρὼν τινὰς ἐπὶ Θηβῶν ἀνερχομένους τὸν σοφὸν τοῦτο ἀπέσταλκα, οὐδὲν βουλόμενος τῶν καλῶν δίχα σου ἐπίστασθαι. Ἀλλὰ καὶ σὺ διὰ τοῦ πειρῶ εἰς τὴν ἀγορὰν ἐμβάλλειν, ἵνα πολλοὶ δὴ τρίβουσιν ἄνθρωποι. Ἔσται γὰρ ἡμῖν οὕτω καὶ ἄλλα σοφὰ παρὰ τῶν κατὰ μέρος εὑρεῖν. Πολλὴ γὰρ ἡ φύσις, ἣν ἐκβαλλομένην ὑπὸ τῆς δόξης ἐκ τοῦ βίου, ἐπὶ σωτηρίᾳ ἀνθρώπων κατάγομεν ἡμεῖς.

ΠΑΤΡΙ ΙΚΕΤΗι.

ζ.

ΜΗ' ἀνιῶ, ὦ πάτερ, ὅτι κύων λέγομαι, καὶ ἀμπέχομαι τρίβωνα διπλοῦν, καὶ πήραν φέρω κατὰ ὤμων, καὶ ῥάβδον ἔχω διὰ χειρός. Οὐ γὰρ ἄξιον ἐπὶ τοῖς τοιούτοις ἀνιᾶσθαι, μᾶλλον δὲ ἥδεσθαι, ὅτι ὀλίγοις μὲν ἀρκεῖται ὁ παῖς σου. Ἐλεύθερος δὲ ἐστι δόξης, ᾗ πάντες δουλεύουσιν, Ἕλληνές τε καὶ βάρβαροι. τὸ γὰρ ὄνομα πρὸς τὸ συμπεφυκέναι τοῖς πράγμασι, σύμβολον δὲ εἶναι, ἔνδοξόν πως ἐστί. Καλοῦμαι γὰρ

dogma hoc, poculo mihi scitius esset, nihil veritus sum ipso præceptore bonorum vti. Abieci igitur poculum quod habebam, & cum inuenerim qui Tbebas redirent, sapiens inuentum hoc mitto, Nihil volens illorum quæ pulchra sunt, sine te cognoscere. Quare & tu, tentabis in forum diuulgare, vbi plurimi versantur homines. Licebit enim nobis & alia præclara ab his partim inuenire. Latissimè enim patet natura, quam eiectam ab opinione ex vitâ, in salutem hominum nos reducimus.

PATRI HICETAE

VII.

NE contristeris, ô pater, quod canis dicar, & induor pallio duplici, & peram fero in humeris, & baculum in manu: Neque enim dignũ propter talia mœrore adfici, sed lætari potius, quod paucis contẽtus est puer tuus: Liber a. est ab opinione cui omnes famulãtur, Græci simul & Barbari. Nomen enim ꝙ rebus cõueniat, quin & omẽ sit, gloriosum quodãmodo est. Vocor n. canis, sed cœli, nõ terræ; ꝙ ipsi assimilẽ meipsũ

κύων, ὁ οὐρανοῦ, οὐχ ὁ γῆς. Ὅτι ἐκείνῳ εἰκάζω ἐμαυτὸν, ζῶν οὐ κατὰ δόξαν, ἀλλὰ κατὰ φύσιν ἐλεύθερος, ὑπὸ τὸν Δία, εἰς αὐτὸν ἀνατετικὼς τ᾽ ἀγαθόν. Τὴν δὲ στολὴν καὶ Ὅμηρος γράφει τὸν τῶν Ἑλλήνων σοφώτατον φορεῖσθαι, ἡνίκα οἴκαδε ἐπανήει ἐξ Ἰλίου, ἄθλως ὑποθημοσυνήσιν. Οὕτω καλή ἐστι, ὡς μὴ ἀνθρώπων εὕρεμα ὁμολογεῖσθαι, ἀλλὰ θεῶν.

Φᾶρος μὲν οἱ πρῶτα, χιτῶνά τε, εἵματ᾽ ἔδωκε
Λευγαλέα, ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ.
Ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἕσσ᾽ ἐλάφοιο
Ψιλόν· δῶκε δ᾽ οἱ σκῆπτρον, καὶ ἀεικέα πήρην

Θάῤῥει οὖν πάτερ ἐπὶ τῷ ὀνόματι, ᾧ καλοῦσιν ἡμᾶς, καὶ ἐπὶ τῇ στολῇ. Ἐπεὶ ὁ μὲν κύων ἐστὶ πρὸς θεῶν· ἡ δὲ εὕρημα τοῦ θεοῦ.

ΕΥ΄ΓΝΗΣΙ΄Ω.

ἤ

Ἧκον εἰς Κόρινθον ἐκ μεγαρέων, καὶ διαπορθούμενος τὴν ἀγορὰν, παρίσταμαι διδασκαλείῳ τινὶ παίδων· καί μοι ἐπεὶ οὐκ ἐῤῥαψῴδουν, ἔδοξε πύθεσθαι, τίς ἦν ὁ διδάσκων αὐτούς. Καὶ ἀπεκρίναντο, Διονύσιος Σικελίας τύραννος. Κἀγὼ δόξας αὐτοὺς ἐρεσχελεῖν πρὸς ἐμὲ,

καὶ

viuens non iuxta opinionem, sed iuxta naturam liber sub Ioue, in ipsum erectus Bonum. Stolam verò, etiam Homerus scribit sapientissimum Græcorum gestâsse, cum domum ex Ilio rediret, Palladis admonitu. Vsqueadeo ergo honesta est, vt non hominis inuentum confitendũ sit, sed Deorum: Pallium quidem ei primum, & tunicam vestes dedit,

Humidas, sordidas, malo fœdatas fumo.
Circũ vero ipsum magnã pellem celeris induit cerui,
Nudã: dedit vero ei baculum & asperam peram.

Securus igitur esto ô pater de nomine quo appellant nos, & de habitu. Cum canis quidem sit à Diis, hic verò inuentum Deorum.

EVGNESIO.
VII

VEni Corinthum Megara, & pertransiens forum, accedo ad ludum aliquem litterariũ puerorũ: & mihi, cum nulla carmina recitarẽt, visum quærere, quis illos doceret? Et respõdebant, Dionysius Siciliæ tyrãn⁹. Et ego ratus illos me ludificari,

καὶ τοῦτο οὐχ ἁπλῶς ἀποκεκρίσθαι, παρελθὼν ἐπὶ τὸ βάθρον, ἐκάθιζα εὐκόσμως ἀναμένων αὐτόν. Ἔλεγε γὰρ πρὸς τὴν ἀγορὰν ὡρμηκέναι. Καὶ δὴ οὐ διαγίνεται πολὺς χρόνος, καὶ ἐπιστρέφεται ὁ Διονύσιος. Κἀγὼ ἐξαναστὰς προσαγορεύω αὐτόν τε, καὶ ἐπιλέγω· Ὡς οὐκ εὖ Διονύσιε διδάσκεις· Ὁ δὲ μὲ δόξας συνάχθεσθαι αὐτῷ ἐπὶ τῇ πτώσει τῆς τυραννίδος, καὶ τῷ παρόντι τοῦ βίου σχήματι, τοιαῦτα εἶπεν· Ὦ Διόγενες εὖ ποιεῖς συναλγῶν ἡμῖν. Κἀγὼ προσέθηκα τῷ οὐκ εὖ, τὸ ἀληθῶς. Ἀλλ' ἐγὼ μὲν οὐχ ὅτι τῆς τυραννίδος ἀφῄρησαι ἄχθομαι, ὦ Διονύσιε· ἀλλ' ὅτι ἐλευθεριάζεις ἐν τῇ ἑλλάδι τανῦν, καὶ περιέσωσαι ἀπὸ τῶν ἐν Σικελίᾳ κακῶν, οἷς ἔδει σε ἀποθανεῖν, τοιαῦτα ἐργαζόμενον φαῦλα γῆν καὶ θάλασσαν.

ΚΡΑΤΗΤΙ.

θ'

Ἐπυθόμην σε τὴν οὐσίαν ἅπασαν κατενεγκεῖν εἰς τὴν ἐκκλησίαν, καὶ παραχωρῆσαι τῇ πατρίδι, καὶ στάντα ἐν μέσῳ κηρύξαι· Κράτης Κράτητος Κράτητα ἀφίησιν ἐλεύθερον. Ἠσθῆναι οὖν ἐπὶ τῇ δωρεᾷ τοὺς πάντας

& illud non liquido respondisse progressus ad subsellium, decorè assideo, expectans ipsum. Dicebatur enim ad forum properasse. Et sanè nõ multum interponitur temporis, & reuertitur Dionysius: Ibi ego assurgẽs, ipsum & compello, & dicendo superaddo: Quam non benè, Dionysi doces! Hic vero me sibi cõdolescere ratus, ꝙ regno excidisset, & ob præsentẽ vitæ statũ talia dixit: O Diogenes rectè facis, nostram vicem nobiscum dolens. Et ego ipsi Non bene, adieci Haud dubiè. At ego non quod tyrannide sis spoliatus doleo, ô Dionysi, sed quod liberè degas in Græciâ hoc tempore, & incolumis conserueris post illa in Siciliâ mala, quibus te interiisse oportuit, tanta perpetrantem mala terrâ & mari.

CRATETI.

IX.

AVDIui te vniuersam substantiam contulisse in concionem, & patriæ concessisse, & stantem in medio proclamasse: Crates Cratetis Cratetem dimittit liberum. Gauisos igitur hac donatione ciues omnes, & cum stupore nos de-

ἀστοὺς, καὶ ἀγαθῦναι ἡμᾶς τοὺς τῶν τοιούτων ἀνθρώπων ποιητάς. Ἐθελῆσαι δὲ διὰ τοῦτο διαπέμψαι Ἀθήνηθεν. Σὲ δὲ ἐπιστάμενον τὴν ἡμετέραν κρίσιν κωλῦσαι. Ἐν τούτῳ μὲν οὖν ἐπαινῶ σε τοῦ νοῦ· ἐπὶ δὲ τῇ παραδόσει τῆς οὐσίας καὶ ἄγαμαι. Ἐπεὶ πλεῖον ἢ προσεδόκησα κρείττων ἐγένου τῶν δοξῶν. ἀλλὰ διὰ ταχέων ἐπανήκε. οὔτε γάρ σοι δεῖ πρὸς τ' ἄλλα συνασκήσεως, καὶ χρονίζειν ἔνθα μή εἰσιν ὅμοιοι οὐκ ἀσφαλές.

ΜΗΤΡΟΚΛΕΙ.

ι.

Μὴ μόνον ἐπὶ τῇ στολῇ, καὶ τῷ ὀνόματι, καὶ τῇ διαίτῃ θάρρει Μητρόκλεις· ἀλλὰ καὶ ἐπὶ τῷ αἰτεῖν ἀνθρώπους τὰ σωτήρια. Οὐ γὰρ αἰσχρόν. Βασιλεῖς γέ τοι, καὶ δυνάσται παρὰ τῶν ὑποτεταγμένων αἰτοῦσι χρήματα, στρατιώτας, ναῦς, σῖτον· καὶ οἱ κάμνοντες παρὰ τῶν ἰατρῶν φάρμακα, καὶ οὐ μόνον πυρετοῦ, ἀλλὰ καὶ φρίκης καὶ λοιμοῦ· καὶ οἱ ἐρασταὶ παρὰ τῶν παιδικῶν φιλήματα, καὶ ἀπαφήματα. Τὸν δὲ Ἡρακλέα παρὰ τῶν ἀναισθήτων φασὶ καὶ ἰσχὺν λαμβάνειν. Οὐ γὰρ προῖκα αἰτεῖν, οὐδὲ ἐπὶ χείρονι ἀνταλλαγῇ, ἀλλ' ἐπὶ τῷ σωτηρίῳ πάντων, ἐστὶν ἀνθρώπους τὰ πρὸς τὴν φύσιν, καὶ ἐπὶ τῷ ταῦτα ποιεῖν Ἡρακλεῖ τοῦ Διὸς, καὶ ἔχειν ἀμεί-

miratos eiuſmodi hominum effectores. Voluiſſe proinde Athenas tranſmittere; te autē vt qui noſtram ſententiam pernoſcas, impediiſſe. Et hic equidem laudo te ob mentem: Ob donationem verò facultatum, etiam demiror: Cum citius quam expectaſſem ſuperior euaſeris opinionibus. Verum celeriter redi. Adhuc enim ad alia adſuefactione tibi opus eſt. Et morari, vbi nullos habeas ſimiles, non ſatis tutum.

METROCLI.

X.

